ΒΚ
Ε18

ΒΙΒΛΙΟΘΗΚΗ
ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
026000334541

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Αρ. Εισ. 13C547

# ΕΙΡΜΟΛΟΓΙΟΝ

## ΣΥΝ ΘΕΩ ΑΓΙΩ,

Περιέχον τὴν πρέπουσαν αὐτῷ Ἀκολουθίαν.
Ἐν ᾧ προσετέθησαν, καὶ αἱ ἑπτὰ Οἰκουμεν. καὶ
ἅγιαι Σύνοδοι, καὶ τὰ Σιωσικέσια.

Ἔτι δὲ τὰ ἑπτὰ Μυστήρια τῆς Ἐκκλησίας, καὶ τὰ ἑπτὰ
χαρίσματα τοῦ Ἁγίου Πνεύματος. Αἱ τέσσαρες
Γενικαὶ ἀρεταὶ τῆς ψυχῆς, καὶ τοῦ σώματος.
Καὶ τὰ ἑπτὰ θανάσιμα ἁμαρτήματα
ἐν εἴδει δένδρου μετὰ τὴν
Ἑρμηνείαν αὐτῶν.

Τὰ πάντα μετ' ἐπιμελείας τυπωθέντα.

Con Licenza de' Superiori.




ΕΝΕΤΙΗΣΙΝ.

Παρὰ Νικολάῳ τῷ Σάρῳ.

αψιδʹ. 1714

[illegible] 130

[illegible] 188

40

228

# ΕΙΡΜΟΛΟΓΙΟΝ

## ΣΥ'Ν ΘΕΩ͂ ΑΓΙ'Ω,

Περιέχον πάντας τοὺς εἱρμοὺς τῆς Ὀκτωήχου, τῶν τε Δεσποτικῶν, καὶ τῶν Θεομητορικῶν ἑορτῶν, καὶ ὅλου τοῦ Ἐνιαυτοῦ.

## Ἀρχὴ τῶν εἱρμῶν τοῦ Πρώτου ἤχου.

### ὨΔΗ' Α'. ΗΧΟΣ Α'.

ΣΟῦ ἡ τροπαιοῦχος δεξιά, θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται. αὕτη γὰρ ἀθάνατε, ὡς πανσθενὴς ὑπεναντίους ἔθραυσε, τοῖς Ἰσραηλίταις, ὁδὸν βυθοῦ καινουργήσασα.

Τῇ Κυριακῇ πρὸ τῆς Χριστοῦ γεννήσεως.

Καταβασία.

Χριστὸς ἐν πόλει Βηθλεὲμ βρεφουργεῖται, ὁ ἡμῶν ὡς εὔσπλαγχνος καινουργῶν φύσιν, προθύμως

δεῦτε γηγενεῖς, τῇ καρδίᾳ ᾆσμα μελῳδὸν ᾄσω-
μεν τῷ δεσπότῃ, εἰς αἰῶνας ἐνδόξως γὰρ δεδό-
ξασται. Εἰς τὴν Χριστοῦ γέννησιν.

Χριστὸς γεννᾶται δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν ἀ-
παντήσατε. Χριστὸς ἐπὶ γῆς ὑψώθητε. ᾄσατε
τῷ κυρίῳ πᾶσα ἡ γῆ. καὶ ἐν εὐφροσύνῃ ἀνυμνή-
σατε λαοί, ὅτι δεδόξασται.

Ἔσωσε λαόν, θαυματουργῶν δεσπότης.
Ὑγρὸν θαλάσσης κῦμα, χερσώσας πάλαι.
Ἑκὼν δὲ τεχθείς, ἐκ κόρης τρίβον βατὴν,
Πόλου τίθησιν ἡμῖν, ὃν κατ᾽ οὐσίαν,
Ἴσον τῷ Πατρί, καὶ βροτοῖς δοξάσωμεν.

Εἰς τὴν προσκύνησιν τοῦ τιμίου σταυροῦ.

Ὁ θειότατος προετύπωσε πάλαι Μωσῆς, ἐν ἐρυ-
θρᾷ θαλάσσῃ διαβιβάσας Ἰσραήλ, τῷ σταυρῷ
σου τὴν ὑγρὰν τῇ ῥάβδῳ τεμών, ᾠδὴν ὥσεν ἐξό-
διον ἀναμέλπων Χριστὲ ὁ Θεός.

Εἰς τὸ ἅγιον Πάσχα.

Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν λαοί. Πά-
σχα κυρίου Πάσχα. ἐκ γὰρ θανάτου πρὸς ζωὴν,
καὶ ἐκ γῆς πρὸς οὐρανὸν Χριστὸς ὁ Θεός, ἡμᾶς διε-
βίβασεν, ἐπινίκιον ᾄδοντας.

Τῇ Κυριακῇ τοῦ Θωμᾶ.

Ἄσωμεν πάντες λαοί, τῷ ἐκ πικρᾶς δουλείας Φα-
ραὼ τὸν Ἰσραὴλ ἀπαλλάξαντι, καὶ ἐν βυθῷ θα-

λάσ-

λάσσης ποδὶ ἀβρόχῳ ὁδηγήσαντι, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασαι.

Εἰς τὴν κοίμησιν τῆς Θεοτόκου.

Πεποικιλμένη τῇ θείᾳ δόξῃ, ἡ ἱερὰ καὶ εὐκλεὴς παρθένε μνήμη σου, πάντας συνηγάγετο, πρὸς εὐφροσύνην τοὺς πιστοὺς, ἐξαρχούσης Μαριὰμ, μετὰ Χορῶν καὶ Τυμπάνων, τῷ σῷ ᾄδοντας μονογενεῖ, ἐνδόξως ὅτι δεδόξασαι.

Τῆς Ὀκτωήχου.

Ὠδὴν ἐπινίκιον ᾄσωμεν πάντες, Θεῷ τῷ ποιήσαντι θαυμαστὰ τέρατα, βραχίονι ὑψηλῷ, καὶ σώσαντι τὸν Ἰσραὴλ, ὅτι δεδόξασαι.

Ἄσωμεν τῷ κυρίῳ ᾆσμα καινόν. τὴν γὰρ ἄβατον τεμὼν θάλασσαν ἐρυθρὰν, πεζοπορεῖν ἐποίησε τοὺς υἱοὺς Ἰσραὴλ, καὶ τοὺς ἐναντίους ἐχθροὺς ἐκάλυψε θάλασσα.

Ἄπειρον ὁ θεόπτης Μωϋσῆς, τὸν Ἰσραὴλ προανακρούεται. ἄρχει Μαριὰμ σοφῶν τε γυναικῶν, ὁ χορὸς. ᾠδὴν ἐπινίκιον τῷ θαυμαστῷ Θεῷ ἡμῶν πάντες ᾄσωμεν.

Ὁ διὰ στύλου πυρὸς καὶ νεφέλης, τὸν Ἰσραὴλ ὁδηγήσας ὡς Θεὸς, τὴν θάλασσαν διέῤῥηξας, ἅρματα δὲ Φαραὼ βυθῷ ἐκάλυψεν, ᾄσωμεν ᾠδὴν ἐπινίκιον, ὅτι μόνος δεδόξασαι.

Πικρᾶς δουλείας ῥυσθεὶς Ἰσραὴλ, τὴν ἄβατον διῆλθεν ὡς ἤπειρον, ἐχθρῶν καθορῶν ποντούμενον,

ὕμνον ὡς εὐεργέτῃ ᾄδει Θεῷ, τῷ τερατουργοῦ
βραχίονι ὑψηλῷ, ὅτι δεδόξασαι.

Ἄσωμεν ᾆσμα καινὸν τῷ Θεῷ, τῷ δουλείας Φαρ
λυτρωσαμένῳ τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ἐν ἐρήμῳ
τοὺς ἐκθρέψαντι, ὅτι ἐνδόξως δεδόξασαι.

Τὸν Φαραὼ σὺν ἅρμασιν, ἐν τῇ θαλάσσῃ Χριστὸς
τεπόντισε, καὶ διήγαγε λαὸν, ὑμνοῦντα καὶ λέγ
τα· ᾄσωμεν τῷ Κυρίῳ ἐνδόξως γὰρ δεδόξασαι.

Ὑψώσωσε ὁ Θεὸς ὁ σωτήρ μου, ὅτι ἀνέστης ἐκ νεκρ
πατήσας τὸν θάνατον.

Τῷ Κυρίῳ ᾄσωμεν ἐπινίκιον ᾠδὴν, τῷ ἐν ἐξό
Ἰσραὴλ, ἐξ Αἰγύπτου ἐρυθρᾶς θαλάσσης,
Ἰορδάνου τὸ ῥεῖθρον πήξαντι μόνῳ, παραδόξ
τοῦ λαοῦ πεζοποροῦντος, διὰ μέσου αὐτῆς, ἐνδόξ
γὰρ δεδόξασαι.

Τῷ βοηθήσαντι Θεῷ, ἐν Αἰγύπτῳ τῷ Μωσῇ,
δι' αὐτοῦ τὸν Φαραὼ πανστρατὶ βυθίσαντι, ἐ
νίκιον ᾠδὴν ᾄσωμεν, ὅτι δεδόξασαι.

## ΩΔΗ Β. ΗΧΟΣ Α.

Πρόσεχε οὐρανὲ, καὶ λαλήσω, ὅτι ὁ λόγος τοῦ Π
τρὸς, ἑκὼν καταβέβηκεν, ἐπὶ τῆς γῆς κλίνας
ρανοὺς, καὶ γέγονεν ἄνθρωπος, ἵνα τὸν ἄνθρωπ
σώσῃ ὡς φιλάνθρωπος.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πρόσχες τῇ φωνῇ μου ὁ ἐκ παρθένου τεχθεὶς, καὶ τὰ ῥήματά μου ἐνώτισαι, ὅτι τὸ ὄνομά σου τὸ θαυμαστὸν Κύριε ἐπεκαλεσάμην.

Πρόσεχε οὐρανὲ καὶ ἄκουε γῆ, καὶ Χριστὸν ἀνύμνει τὸν ἐν σπαργάνοις εἰλιθέντα, καὶ σειρὰς τῶν πταισμάτων μου λύσαντα.

Οὐρανὲ πρόσεχε καὶ λαλήσω, καὶ ἀκουέτω τὰ ῥήματα ἐκ στόματός μου, ὅτι τὸ ὄνομά σου Κύριε ἐπεκαλεσάμην.

Καταβήτω ὡς δρόσος τὰ ῥήματά μου, ὅτι τὸ ὄνομα Κυρίου ἐκάλεσα.

Πρόσεχε οὐρανὲ καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστὸν τὸν σωτῆρα τοῦ κόσμου, τὸν μόνον φιλάνθρωπον.

Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου, ὠδινῶς σοι βοῶ. ὅτι πρὸς σὲ προσεύξομαι Κύριε καὶ σῶσόν με.

Ἴδετε ἴδετε, ὅτι αὐτὸς ἐγώ εἰμι, ὁ δουλωθέντα τὸν λαὸν τοῦ Ἰσραὴλ, τῷ Μωϋσῇ δημαγωγῶν ἐν ἐρήμῳ προστάξας, καὶ σώσας ὡς δυνατὸς τῇ ἐξουσίᾳ μου.

Πρόσεχε οὐρανὲ καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστὸν τὸν ἐκ Παρθένου σαρκωθέντα Θεὸν ἡμῶν.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Σωτὴρ τοῦ κόσμου, τὸ φῶς τὸ ἀληθινὸν, ἡ πηγὴ τῆς ζωῆς, ὁ υἱὸς τοῦ Θεοῦ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΩʼΔΗʼ Γʹ. ΗʼΧΟΣ Αʹ.

Οʼ μόνος εἰδὼς τῆς τῶν βροτῶν, ὐσίας τὴν ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος, περίζωσόν με ἐξ ὕψους δύναμιν, τοῦ βοᾶν σοι ἅγιος ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀφράστου σου δόξης φιλάνε.

Πρὸ τῆς Χριςοῦ γεννήσεως.

Υʼψιμέδων ἄναρχε, δὑμενὲς λόγε, ἐπίβλεψον πρὸς τὰς μοι δακρυῤῥοῦσα, ἐκτενῶς ἐβόασοι, πρόσπαλαι Αʼννα. ἀλλʼ ὡς ἐκείνης ἤκουσας θρηνωδούσης, καὶ ἡμῶν ςερέωσον τὰς φρένας ἄναξ, τοῦ ἀξίως ὑμνεῖν σου τὰ γενέθλια.

Εἰς τὴν Χριςοῦ γένναν.

Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀῤῥεύςως υἱῷ, καὶ ἐπʼ ἐσχάτων ἐκ παρθένου, σαρκωθέντι ἀπόρως, Χριςῷ τῷ Θεῷ βοήσωμεν, ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ Κύριε.

Νεῦσον πρὸς ὕμνους οἰκετῶν δὑεργέτα, Εʼχθροῦ ταπεινῶν τὴν ἐπηρμένην ὀφρυῦ. Φέρωντε παντεπόπτα τῆς ἁμαρτίας, Υʼπερθεν ἀκλόνητον ἐςηριγμένους, Μάκαρ μελῳδοὺς τῇ βάσει τῆς πίςεως.

Τοῦ Σταυροῦ.

Στερέωσον δέσποτα Χριςὲ, ὁ σταυρῶσας ἐν πέτρᾳ με

τῆς πίστεως, μὴ σαλευθῆναι τὸν νοῦν, ἐχθροῦ προσβολαῖς τοῦ δυσμενοῦς. μόνος γὰρ εἶ ἅγιος.

Τοῦ Πάσχα.

Δεῦτε πόμα πίωμεν καινὸν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγὴν, ἐκ τάφου ὀμβρήσαντα Χριστὸν, ἐν ᾧ στερεούμεθα.

Τοῦ Θωμᾶ.

Στερέωσόν με Χριστὲ, ἐπὶ τὴν ἄσειστον πέτραν τῶν ἐντολῶν σου, καὶ φώτισόν με φωτὶ τοῦ προσώπου σου. οὐκ ἔστι γὰρ ἅγιος πλὴν σου φιλάνθρωπε.

Τῆς Κοιμήσεως τῆς Θεοτόκου.

Ἡ δημιουργικὴ, καὶ συνεκτικὴ τῶν ἁπάντων, Θεοῦ σοφία καὶ δύναμις, ἀκλινῆ ἀκράδαντον τὴν Ἐκκλησίαν στήριξον Χριστέ. μόνος γὰρ εἶ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος.

Τῆς Ὀκτωήχου.

Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. αὐτὸς ἐστὶν ἡ πέτρα ἐν ᾗ ἐστερέωσε Χριστὸς τὴν Ἐκκλησίαν αὐτοῦ, ἣν ἐξ ἐθνῶν ἐξηγοράσατο.

Ὁ στερεώσας λόγῳ τοὺς οὐρανοὺς, καὶ τὴν γῆν ἑδράσας Θεὸς, κἀμὲ στερέωσον βοῶντά σοι τὸν ὕμνον, ἅγιος εἶ Κύριε.

Ἡ τὸν πρὸ συλλήψεως ἁγνὸν Σαμουὴλ, ἀλισάκπος τῷ Θεῷ καθυποσχομένη, ἱερομήτωρ Ἄννα νῦν

γα-

γηθομένη, ᾄδει σὺν ἡμῖν, ἐςερεώθη ἐν Κυρ ἡ καρδία μου.

Μὴ ἐν τῇ σοφίᾳ, καὶ τῷ πλούτῳ καυχάσθω θνητὸς τῷ αὐτοῦ, ἀλλὰ τῇ πίςει τοῦ Κυρίου, ὀρθοδόξῳ κραυγάζων Χριςῷ τῷ Θεῷ, καὶ μέλπων ἀεὶ ἐπὶ τὴν πέτραν τῶν σῶν ἐντολῶν, ςήριξόν με Δέσποτα.

Στερεωθήτω ἡ καρδία μου, εἰς τὸ θέλημά σου Χριςὲ ὁ Θεὸς, ἐφ' ὑδάτων οὐρανὸν ςερεώσας τὸ δεύτερον, καὶ ἑδράσας ἐν τοῖς ὕδασι, τὴν γῆν παντοδύναμε.

Στερέωσον Κύριε τὴν Ἐκκλησίαν σου, ἣν ἐκτήσω τῇ δυνάμει τοῦ ςαυροῦ σου, ἐν ᾧ ἐχθρὸν ἐθριάμβευσας, καὶ ἐφώτισας τὴν οἰκουμένην.

Στερέωμά μου γενοῦ, ὁ θεμελιώσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων, ὅτι οὐκ ἔςιν ἅγιος πλὴν σου Κύριε.

Ὁ ςερεώσας τῷ λόγῳ σου τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται, ςερέωσον καὶ ἡμῶν τὴν διάνοιαν, εἰς τὸν φόβον σου δέσποτα Κύριε.

Στερεωθήτω ἡ καρδία μου, τῇ ἐλπίδι Χριςὲ τῶν ἀγαθῶν σου, ἵνα ἀπαύςως μετ' ᾠδῆς, τὸν ὕμνον ἀνακράζωσιν, οὐκ ἔςιν ἅγιος καὶ γὰρ πλὴν σου φιλάνθρωπε.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΩΔΗ Δ΄. ΗΧΟΣ Α΄.

Ὄρος σε τῇ χάριτι, τῇ θείᾳ κατάσκιον, προβλεπτικοῖς ὁ Ἀββακοὺμ, κατανοήσας ὀφθαλμοῖς. ἐκ σοῦ ἐξελεύσεσθαι, τοῦ Ἰσραὴλ προανεφώνει τὸν ἅγιον, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Πρὸ τῆς Χριστοῦ γεννήσεως.

Ἀκηκοὼς ὁ Προφήτης Χριστὲ τὴν ἀκοήν σου, ἐφοβήθη, ὅτι μέλλεις ἐκ παρθένου προελθεῖν, καὶ ἐβόησε τρόμῳ, δόξα τῇ δυνάμει σου Κύριε.

Εἰς τὴν Χριστοῦ γέννησιν.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐξ αὐτῆς Χριστὲ, ἐκ τῆς παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετὸς, κατασκίου δασέως, ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός· δόξα τῇ δυνάμει σου Κύριε.

Γένους βροτείου, τὴν ἀνάπλασιν πάλαι, ᾌδων Προφήτης Ἀββακοὺμ προμηνύει, ἰδεῖν ἀφράστως ἀξιωθεὶς τὸν τύπον. Νέον βρέφος γὰρ, ἐξ ὄρους τῆς παρθένου, Ἐξῆλθε λαῶν εἰς ἀνάπλασιν λόγος.

Τοῦ τιμίου σταυροῦ.

Ἐπὶ σταυροῦ σε δυνατὲ, φωστὴρ ὁ μέγας κατιδὼν, τρόμῳ

μῳ ἐπαρθεὶς τὰς ἀκτῖνας, συνέσειλεν ἔκρυψε. πᾶσα δὲ κτίσις ὕμνησεν ἐν φόβῳ τὴν σὴν μακροθυμίαν. καὶ γὰρ ἐπλήσθη ἡ γῆ τῆς σῆς αἰνέσεως.

Τοῦ Πάσχα.

Ἐπὶ τῆς θείας φυλακῆς, ὁ Θεηγόρος Ἀββακοὺμ, στήτω μεθ' ἡμῶν καὶ δεικνύτω φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα, σήμερον σωτηρία τοῦ κόσμω, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Τοῦ Θωμᾶ.

Μέγα τὸ μυστήριον τῆς σῆς Χριστὲ οἰκονομίας. τοῦτο γὰρ ἄνωθεν προβλέπων, θεοπτικῶς ὁ Ἀββακοὺμ, ἐξῆλθες ἐβόασοι εἰς σωτηρίαν λαοῦ σου φιλάνθρωπε.

Τῆς κοιμήσεως τῆς Θεοτόκου.

Ῥήσεις Προφητῶν καὶ αἰνίγματα, τὴν σάρκωσιν ὑπέφηναν τὴν ἐκ παρθένου σου Χριστὲ, φέγγος ἀστραπῆς σου, εἰς φῶς ἐθνῶν ἐξελεύσεται. καὶ φωνεῖ σοι ἄβυσσος ἐν ἀγαλλιάσει, τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Τῆς Ὀκτωήχου.

Ἐν πνεύματι προβλέπων, Προφῆτα Ἀββακοὺμ, τὴν λόγου σάρκωσιν ἐκήρυττες βοῶν. ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθείσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθείσῃ, δόξα τῇ δυνάμει σου Κύριε.

Ἀκήκοε πάλαι Ἀββακοὺμ, Χριστέ σου ὁ θαυμάσιος,

σιος, τὴν ἀκοὴν καὶ φόβῳ ἐκραύγαζεν, ἀπὸ Θαιμὰν ὁ Θεὸς ἥξει, καὶ ὁ ἅγιος ὄρους ἐκ δασέως κατασκίου, τοῦ σῶσαι τοὺς Χριστοὺς, δόξα τῇ δυνάμει σου Κύριε.

Ἀββακοὺμ τὴν ἔνδοξόν σου παρουσίαν, αὖθις τε λόγε προϊδὼν ἀνεβόα, Ἀκήκοα Κύριε, ὅτι ἐξ ὄρους ἁγίου ἥξεις εἰς βροτῶν σωτηρίαν, καὶ δέους πλήρης γεγονὼς ἀνακράζει, ὡς μεγάλα τὰ ἔργα Χριστέ μου τῆς σῆς δόξης.

Τὴν ἀκοήν σου Κύριε εἰσακήκοα καὶ ἐφοβήθην, τὰ ἔργα σου κατενόησα καὶ ἐξέστην, ὅτι Θεὸς πρὸ αἰώνων ὑπάρχων, ἐκ Παρθένου ἐτέχθης γενόμενος ἄνθρωπος.

Σὺ τῷ θαυμασίως στὰς Ἀββακοὺμ, ἐπὶ τῆς θείας φυλακῆς σου Γρηγόρει, καὶ τὸν ἐπ' ὤμων Χερουβὶμ κατανοήσας, τῆς παγκοσμίου γέγονας μύστης σεβας, ἀεὶ κραυγάζων, Κύριε δόξα τῇ δυνάμει σου.

Ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς, ὑψώθης μακρόθυμε ἐπὶ τοῦ ξύλου, καὶ ἔπηξας ἐν αὐτῷ τὴν Ἐκκλησίαν σου.

Τί βλέπεις ἐν πνεύματι λέγε Προφῆτα, προκατιδὼν ἐξέστηκας; Θεὸν κατενόησα ἐκ τῆς Παρθένου, ἡνωμένον μοι σαρκί, ὅθεν ἐξίσταμαι.

Ὅτι Θεὸς σαρκοῦται, οὐ πάσχων τροπὴν, ὁ θεσπέσιος ἐξέστη ἀκηκοὼς Ἀββακοὺμ, καὶ τὴν εἰς θεογνωσίαν

ἐξ εἰδωλομανίας κατανοήσας, τῶν πιςῶν σωτηρίαν ἐκραύγαζε, Κύριε δόξα τῇ δυνάμει σου.

Εἰσακήκοα Κύριε τὴν ἀκοήν σου καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου ὁ Προφήτης ἔλεγε, καὶ ἐδόξασά σου τὴν δύναμιν.

Ἔλαμψεν ἡ χάρις σου τοῖς ἔθνεσι, καὶ εἴδοσαν τὰ πέρατα τὴν δόξαν σου, ὅτι διὰ τοῦ ςαυροῦ σου τὸν κόσμον ὅλον ἔσωσας.

Κατενόησα παντοδύναμε τὴν σὴν οἰκονομίαν, καὶ μετὰ φόβου ἐδόξασά σε Σωτήρ.

Εἰσακήκοα Κύριε τὴν ἀκοήν σου καὶ ἐφοβήθην, ὅτι διὰ τοῦ ςαυροῦ σου τὸν κόσμον ἐφώτισας, καὶ ἡμῖν ἐδωρήσω τὴν σὴν ἀνάςασιν.

Τὴν ἀκοὴν ὁ Προφήτης τῆς δυναςείας σου, Ἀββακοὺμ ἀκουτισθεὶς, ἐφοβήθη. τὰ ἔργα σου ὁ Θεὸς κατανοήσας ἐξέςη, καὶ ἐβόα δόξα τῇ δυνάμει σου Κύριε.

## ὨΔΗ Ε΄. ἮΧΟΣ Α΄.

Ὁ φωτίσας τῇ ἐλλάμψει τῆς σῆς παρουσίας Χριςὲ, καὶ φαιδρύνας τῷ ςαυρῷ σου τοῦ κόσμου τὰ πέρατα, τὰς καρδίας φώτισον φωτὶ, τῆς σῆς θεογνωσίας, τῶν ὀρθοδόξως ὑμνούντων σε.

Πρὸ τῆς Χριςοῦ γεννήσεως.

Ὢ πωποπόπτα, τῶν ἀνάκτων τὸ κλέος, τίς σου τὸ φιλάνθρωπον γηγενῶν οὐ θαυμάσει, ἐν γῇ γὰρ ὤφθης,

μὴ λιπὼν τὰ πατρῷα, σήμερον πᾶσαν ἐγκαινί
ζων τὴν κτίσιν, καὶ εἰρήνην ὡς μόνος, εἰρηνάρχης
βραβεύων. Εἰς τὴν Χριστοῦ γέννησιν.

Θεὸς ὢν εἰρήνης, πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης
βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον
ἀπέστειλας ἡμῖν. ὅθεν θεογνωσίας, πρὸς φῶς
ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολο-
γοῦμέν σε φιλάνθρωπε.

Ἐκ νυκτὸς ἔργων ἐσκοτισμένης πλάνης, ἱλασμὸς
ἡμῖν Χριστὲ τοῖς ἐγρηγόρως, Νῦν σοι τελοῦσιν ὕ-
μνον ὡς εὐεργέτῃ, Ἔλθοις πορίζων, εὐχερῆ τε
τὴν τρίβον, Καθ' ἣν ἀνατρέχοντες εὕροιμεν κλέος.

Τοῦ τιμίου Σταυροῦ.

Ὀρθρίζοντες σὲ ἀνυμνοῦμεν σωτὴρ οἰκτίρμον, εἰ-
ρήνην εὑράμενοι τῷ σταυρῷ σου. δι' οὗ ἀνεκαίνισας
τὸ γένος τὸ ἀνθρώπινον, φῶς πρὸς ἀνέσπερον ἄ-
γων ἡμᾶς.

Τοῦ Πάσχα.

Ὀρθρίσωμεν ὄρθρου βαθέως, καὶ ἀντὶ μύρου τὸν ὕμνον
προσοίσωμεν τῷ δεσπότῃ, καὶ Χριστὸν ὀψώμεθα,
δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

Τῆς κοιμήσεως τῆς Θεοτόκου.

Τὸ θεῖον καὶ ἄρρητον κάλλος, τὴν ἀρετήν σου Χριστὲ διη-
γήσομαι. ἐξ ἀϊδίου γὰρ δόξης συναΐδιον, καὶ ἐνυ-
πόστατον λάμψας ἀπαύγασμα, παρθενικῆς ἀπὸ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γαστρὸς, τοῖς ἐν σκότει καὶ σκιᾷ, σωματωθεὶς ἀνέτειλας ἥλιος. Τῆς Ὀκτωήχου.

Τὴν σὴν εἰρήνην δὸς ἡμῖν υἱὲ τοῦ Θεοῦ. ἄλλον γὰρ ἐκτὸς σοῦ Θεὸν οὐ γινώσκομεν, τὸ ὄνομά σου ὀνομάζομεν. ὅτι Θεὸς ζώντων, καὶ τῶν νεκρῶν ὑπάρχεις.

Ὅτι ἐκτὸς σοῦ ἄλλον Θεὸν οὐ γινώσκομεν Χριστὲ, καὶ τὸ σὸν ὄνομα ἐπικέκληται ἡμῖν, τὴν σὴν εἰρήνην παράσχου ταῖς ψυχαῖς ἡμῶν δεόμεθα.

Ἐκ νυκτὸς ὀρθρίζοντες ὑμνοῦμέν σε Χριστὲ, τὸν τῷ Πατρὶ συνάναρχον, καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν, τὴν εἰρήνην τῷ κόσμῳ παράσχου φιλάνθρωπε.

Ἄνθραξ τοῦ πυρὸς τῷ Ἠσαΐου Σεραφίμ, θήγει χειλέων ποτὲ, ὃν τῇ λαβίδι ἀφελόμενος, δικαιοσύνην μάθετε πᾶσιν ἐκήρυττε.

Τὸ φῶς σου Κύριε καὶ τὴν ἀλήθειάν σου ἐξαπόστειλον, ὁδηγῆσαι ἡμᾶς ἐπὶ τὰ προστάγματά σου, καὶ δωρῆσαι ἡμῖν τὴν εἰρήνην σου φιλάνθρωπε.

Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλον φῶς τὸ ἀΐδιον, τοῖς ὀρθρίζουσιν ἐπὶ τὰ κρίματα τῶν ἐντολῶν σου, δέσποτα φιλάνθρωπε, Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ἐκ νυκτὸς ὀρθρίζοντες, σοὶ δόξαν ἀναπέμπομεν, Κύριε ὁ Θεὸς ἡμῶν, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, ὅτι ἐκτὸς σοῦ Θεὸν ἄλλον οὐκ οἴδαμεν;

Καταύγασον ἡμῶν τὸν νοῦν ὁ Θεὸς, τῷ φωτὶ τῶν ἐντολῶν σου, καὶ τῇ αἴγλῃ τῆς χάριτός σου, δωρούμε-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νος ἡμῖν ἀγαθὲ τὰ σὰ ἐλέη. διότι φῶς καὶ εἰρήνη τὰ προστάγματά σου.

Ἐκ νυκτὸς ὀρθρίζοντες ἀνυμνοῦμέν σε Χριστὲ ὁ Θεός, τὸν δι' ἡμᾶς πτωχεύσαντα, καὶ σταυρὸν καὶ θάνατον ἐν σαρκὶ ὑπομείναντα.

Ὁ ἐκ νυκτὸς ἀγνοίας φαιδρύνας τὰ πέρατα, φώτισόν με τῷ ὄρθρῳ τῆς φιλανθρωπίας σου Κύριε.

Ὡς φωτισμὸς ἡμῶν ὑπάρχων Χριστὲ, φώτισον ἡμᾶς, ὁ ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, φύλαξον ἡμᾶς τοὺς πεποιθότας εἰς σέ.

## ὨΔἨ ϛ'. ἮΧΟΣ Α'.

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος, οὐκ ἔστιν ὁ ῥυόμενος, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς, σῶσον τὸν λαόν σου ὁ Θεὸς ἡμῶν, σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις.

Τῇ Κυριακῇ πρὸ τῆς Χριστοῦ γεννήσεως.

Εἰς βυθὸν ἀπωλείας, ἡ ταλαίπωρος φύσις, Χριστέ μου σῶτερ καταντήσασα πάλαι, ἔκειτο, φεῦ μοι σκοτεινοῖς ἐν κευθμῶσιν. ἐπεὶ δὲ τῇ σῇ θεϊκῇ δυναστείᾳ πρὸς οὐρανὸν ἀνέβη, τὰ τερπνότατα κάλλη, θύσωσοι σῶτερ βοᾷ, θυσίαν αἰνέσεως.

Εἰς τὴν Χριστοῦ γένναν.

Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος

θὴρ οἷον ἐδέξατο. τῇ παρθένῳ δὲ, ἐνοικήσας ὁ λόγος, καὶ σάρκα λαβὼν, διελήλυθε φυλάξας ἀδιάφθορον. ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Ναίων Ἰωνᾶς, ἐν μυχοῖς θαλαττίοις, Ἐλθεῖν ἐδεῖτο καὶ ζάλην ἐπαρκέσαι. Νυγεὶς ἐγὼ δὲ τοῦ τυραννοῦντος βέλει, Χριστῷ προσαυδῶ τῷ κακῶν ἀναιρέτῃ, Θᾶττον μολεῖν σε τῆς ἐμῆς ῥαθυμίας.

Τοῦ τιμίου σταυροῦ.

Τὸν τύπον τοῦ θείου σταυροῦ, ὁ Ἰωνᾶς ἐν κοιλίᾳ τοῦ κήτους, πεταμένας παλάμαις προδιεχάραξε, καὶ ἀνέθορε, σεσωσμένος τοῦ θηρὸς, τῇ δυνάμει σου λόγε. Γοῦ Πάσχα.

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους κατόχους πεπεδημένους Χριστὲ, καὶ τριήμερος ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.

Τὸν Προφήτην διέσωσας, ἐκ τοῦ κήτους φιλάνθρωπε, κἀμὲ τοῦ βυθοῦ τῶν πταισμάτων, ἀνάγαγε δέομαι.

Τῆς κοιμήσεως τῆς Θεοτόκου.

Ἁλιοποντογενοῦς κητῷον ἐντόσθιον πῦρ, τῆς τριημέρου ταφῆς σου τὸ προεικόνισμα, οὗ Ἰωνᾶς ὑποφήτης ἀναδέδεικται. σεσωσμένος γὰρ, ὡς καὶ προπέπωτο, ἄσινης ἐβόα. θύσω σοι μετὰ φωνῆς αἰνέσεως Κύριε.

Τῆς Ὀκτωήχου.

Τὸν Προφήτην Ἰωνᾶν, ἐκμιμούμενος βοῶ, τὴν ζωήν μου ἀγαθὲ, ἐλευθέρωσον φθορᾶς, καὶ σῶσόν με, σωτὴρ τοῦ κόσμου, κράζοντα δόξα σοι.

Ἐκ βαθέων ἐν θλίψει ἐβόησεν, ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου, ὁ Προφήτης Ἰωνᾶς, πρὸς σὲ τὸν φιλάνθρωπον.

Ὁ θαλαπόντιον ὑπομείνας συμφορὰν, καὶ λαγόσι συσχεθεὶς ἁλίου θηρὸς, οὐ διεφθάρη, ἀλλ' ἐβόα ὁ Ἰωνᾶς, πρὸς σὲ ἡ ζωή μου ἀναβήτω.

Ἀπέῤῥιψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ἔσωσάς με σωτὴρ δουλείας θανάτου, καὶ ἔλυσας τὸν δεσμὸν τῶν ἀνομιῶν μου.

Ὡς Ἰωνᾶν τὸν Προφήτην, ἀνάγαγε Χριστὲ ὁ Θεὸς, ἐκ φθορᾶς τὴν ζωήν μου βοῶσοι φιλάνθρωπε. ὅτι ζωὴ παρὰ σοὶ ἐστὶν, καὶ ἀφθαρσία καὶ δύναμις.

Σὺν τῷ Ἰωνᾷ βοῶμεν σοι Κύριε, μετὰ φωνῆς αἰνέσεως δεόμενοι, ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

Ὅτι εἰς βάθη θαλάσσης ἀπέῤῥιμαι, καὶ ἐνεπάγην εἰς ἰλὺν βυθοῦ ἀπογνώσεως, τοῦ νοητοῦ χειμῶνος, τῆς ῥαθυμίας μου Χριστὲ, ἐξέλου με ὡς Ἰωνᾶν τοῦ θηρός.

## ὨΔΗ Ζ'. ΗΧΟΣ Α'.

Σὲ νοητὴν θεοτόκε κάμινον, κατανοοῦμεν οἱ πιστοὶ, ὡς γὰρ παῖδας ἔσωσε τρεῖς, ὁ ὑπερυψούμενος, κόσ-

μου ἀνεκαίνισεν ἐν τῇ γαστρί σου ὁλόκληρον, ὁ αἰνετὸς τῶν πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Προεόρτιον τῆς Χριστοῦ γεννήσεως.

Ὡς οἱ παῖδες πάλαι σοι κράζομεν λόγε, γινοῦ σῶν δούλων, σωτὴρ φύλαξ καὶ σκέπη, καὶ σῶσον πάντας προσβολῆς ἐναντίας, ὅπως ὑμνοῦντες σοῖς γενεθλίοις εἰς αἰῶνας λέγομεν, εὐλογητὸς εἶ.

Εἰς τὴν Χριστοῦ γέννησιν.

Οἱ παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν. ἀλλ' ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον, ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ, Ἄπληστα θυμαίνοντος ἠγκιστρωμένοι, Παῖδες τυράννου δύσθεον γλωσσαλγίαν. Οἷς εἶκαθεν πῦρ ἄσβετον τῷ Δεσπότῃ, Λέγουσιν εἰς αἰῶνας εὐλογητὸς εἶ.

Τοῦ τιμίου σταυροῦ.

Φλογόσεως ὁ παῖδας ῥυσάμενος, σάρκα προσλαβόμενος, ἦλθες ἐπὶ γῆς, καὶ ἐν σταυρῷ προσηλωθεὶς, σωτηρίαν ἡμῖν ἐδωρήσω Χριστὲ, ὁ μόνος εὐλογητὸς τῶν πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Τοῦ Πάσχα.

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητὸς, καὶ διὰ πάθους τὸ θνητὸν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος

νος εὐλογητὸς τῶν πατέρων, Θεὸς καὶ ὑπερέν-
δοξος. Τοῦ Θωμᾶ.

Εἰκόνι λατρεύειν Μουσικῆς συμφωνίας, συγκα-
λουμένης λαοὺς, ἐκ τῶν ᾠδῶν σιῶν ἄδοντες, πα-
τρικῶς οἱ παῖδες Δαβίδ, τυράννου ἔλυσαν τὸ
παλίμφημον δόγμα, καὶ τὴν φλόγα εἰς δρόσον
μετέβαλλον, ὕμνον ἀναμέλποντες, ὁ ὑπερυψού-
μενος, τῶν πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Εἰς τὴν κοίμησιν τῆς Θεοτόκου.

Ἱσταμένῳ θυμῷ καὶ πυρὶ, θεῖος ἔρως ἀντιτασσόμενος,
τὸ μὲν πῦρ ἐδρόσιζε, τῷ θυμῷ δὲ ἐγέλα, θεο-
πνεύστῳ λογικῇ, τῇ τῶν ὁσίων τριφθόγγῳ λύρᾳ
ἀντιφθεγγόμενος, Μουσικοῖς Ὀργάνοις ἐν μέ-
σῳ φλογὸς, ὁ δεδοξασμένος, τῶν πατέρων καὶ
ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Τῆς Ὀκτωήχου.

Τοὺς ἐν καμίνῳ παῖδάς σου σωτὴρ, οὐχ ἥψατο, οὐδὲ
παρηνώχλησε τὸ πῦρ. τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς
στόματος, ὕμνουν καὶ εὐλόγουν λέγοντες, εὐλογητὸς
ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὑπῆλθον ὡς νυμφῶνα, τῆς καμίνου τὴν φλόγα τὴν
ἄστεκτον, οἱ δι' εὐσέβειαν ποτὲ, παῖδες ἅγιοι
δειχθέντες σαφῶς, καὶ συμφώνως ἀνυμνοῦντες ὕμ-
νον ἔμελπον, ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ἀβραμιαῖοι παῖδες, ἐν καμίνῳ τριάδα τυπώσαν-

τες, τȣ͂ πυρὸς τὴν φλόγα, εἰς δρόσον μετέβαλλον, καὶ ὑμνȣ͂ντες ἐβόων. εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Οἱ μὴ τροφῇ χρανθέντες παῖδες, Βασιλικῆς τραπέζης, εἰς πῦρ χαίροντες ἔβησαν ποτὲ, καὶ ἐν φλογὶ πυρπολȣ́μενοι ἔψαλλον. εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἡ κάμινος σὺν ἐδροσίζετο, οἱ παῖδες δὲ χορεύοντες ἔψαλλον, ὁ τῶν πατέρων Θεὸν εὐλογητὸς εἶ.

Ἐν τῇ βροντώσῃ καμίνῳ, συγκατέβη ὁ Ἄγγελος τȣ͂ κυρίȣ, τοῖς περὶ τὸν Ἀζαρίαν παισὶ, καὶ ȣ̓χ ἥψατο αὐτῶν τὸ καθόλȣ τὸ πῦρ. τότε οἱ τρεῖς ἀνυμνȣ͂ντες ἔλεγον. εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὁ ἐν τῇ βάτῳ ὀφθεὶς, ἐν πυρὶ τῷ νομοθέτῃ, καὶ τὸν τόκον τῆς παρθένȣ ἐν αὐτῇ προτυπώσας, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν

Πάντα τὰ ἔργα σȣ ἀληθινὰ, καὶ εὐθεῖαι αἱ ὁδοί σȣ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Κατὰ τὸ πλῆθος τȣ͂ ἐλέȣς σȣ φιλάνθρωπε, ποίησον μεθ᾽ ἡμῶν. ἵνα σοι πιςῶς ἅπαντες, ᾄδοντες ψάλλωμεν, ὥσπερ οἱ παῖδες, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

# ΩʼΔΗʼ Η΄. ΗʼΧΟΣ Α΄.

Ἐν καμίνῳ παῖδες Ἰσραὴλ, ὡς ἐν χωνευτηρίῳ, τῷ κάλλει τῆς εὐσεβείας, καθαρώτερον χρυσοῦ, ἀπέστιλβον λέγοντες, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Προεόρτιον τῆς Χριστοῦ γεννήσεως.

Νεουργὲ τοῦ σύμπαντος κόσμου καὶ σῶστα, ὑμνείσει πᾶσα μετ' Ἀγγέλων ἡ κτίσις, σκιρτᾷ χορεύει καὶ ἀγάλλεται ὁμοῦ ὁμῶς, εὐλογεῖτε λέγουσα πάντα τὰ ἔργα, τὰ σεπτὰ γενέθλια τοῦ λυτρωτοῦ μου, σοῦ ἐμοὶ εἰς τοὺς αἰῶνας, πόθῳ ὑπερυψοῦντα.

Εἰς τὴν Χριστοῦ γέννησιν.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον. οὐ γὰρ οὓς ἐδέξατο φλέγει νέους, ὡς οὐδὲ πῦρ, τῆς θεότητος παρθένου, ἣν ὑπέδυ νηδύν. διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν, εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Μήτραν ἀφλέκτως εἰκονίζουσι κόρης, Οἱ τῆς παλαιᾶς πυρπολούμενοι νέοι, Ὑπερφυῶς κύουσαν ἐσφραγισμένην, Ἄμφω δὲ δρῶσα θαυματουργίᾳ μιᾷ, Λαοὺς πρὸς ὕμνον ἐξανίστησι χάρις.

Τοῦ Σταυροῦ.

Χεῖρας ἐν τῷ λάκκῳ βληθεὶς τῶν λεόντων ποτὲ, ὁ

μέγας ἐν Προφήταις σαυροειδῶς ἐκπετάσας Δανιὴλ ἀβλαβὴς, ἐκ τ̃ τούτων καταβρώσεως σέσωσαι, εὐλογῶν Χριστὸν, τὸν Θεὸν εἰς τοὺς αἰῶνας.

Τοῦ Πάσχα.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ Βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτὴ, καὶ πανήγυρις ἐστὶ πανηγύρεων. ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Τοῦ Θωμᾶ.

Τὸν ἐν φλογὶ πυρὸς καιομένης καμίνου, διαφυλάξαντα παῖδας, καὶ ἐν μορφῇ Ἀγγέλου συγκαταβάντα τούτοις, ὑμνεῖτε Κύριον, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου.

Φλόγα δροσίζουσαν ὁσίους, δυσσεβεῖς δὲ καταφλέγουσαν, Ἄγγελος Θεοῦ ὁ παναθενὴς ἔδειξε παισὶ, ζωαρχικὴν δὲ πηγὴν εἰργάσατο τὴν Θεοτόκον, φθορὰν θανάτου, καὶ ζωὴν βλυστάνουσαν τοῖς μέλπουσι. τὸν δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Ὀκτωήχου.

Τὸν τοὺς ὑμνολόγους ἐν καμίνῳ διασώσαντα παῖδας, καὶ τὴν βροντοφλόγον μεταβαλόντα εἰς δρόσον, Χριστὸν τὸν Θεὸν ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὕμνόν σοι προσφέρομεν τῶν ἀσωμάτων, ὥσπερ οἱ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παῖδες ἐν τῇ καμίνῳ. καὶ ὑμνοῦντες λέγομεν, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὑμνῳδοὺς ἡ κάμινος πάλαι, παῖδας δεξαμένη ἀφλέκτους διεφύλαξε, μέσον δὲ φλογὸς ἑστῶτας, συμφώνως ᾠδὴν ἐδίδασκεν. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὡς τὸν ἄνω βυθὸν τῆς θείας ἀκαταληψίας, εὐσεβῶς ἀνακηξάμενος, καὶ τὸν νοῦν ὡς ἐκ πέτρας ἀπεριλήπτου τῆς θεαρχικῆς ἀπηώρησας τριάδος, παμμακάριστε Πάτερ, σὲ μεγαλύνομεν.

Οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὃν φρίττουσιν Ἄγγελοι, καὶ πᾶσαι στρατιαί, ὡς κτίστην καὶ Κύριον ὑμνεῖτε ἱερεῖς, δοξάσατε παῖδες, εὐλογεῖτε λαοί, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὑμνοῦσί σε στρατιαὶ τῶν Ἀγγέλων, δοξάζει σε τὸ γένος τῶν ἀνθρώπων, ἱερεῖς καὶ δοῦλοι, καὶ ψυχαὶ δικαίων, ὡς κτίστην καὶ Κύριον τοῦ παντὸς εἰς τοὺς αἰῶνας.

Ἡ ἐξ ἴρωτος οὐσία, καὶ τρισήλιος δόξα, συγκατέβη τοῖς παισὶν ἐν μέσῳ πυρός, τούτους ἀσινεῖς διατηροῦσα, καὶ τὴν ἀνάστασιν ἡμῖν προκαταγγέλουσα, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. ὃν ὑμνοῦσιν Ἄγγελοι, καὶ τὰ πλήθη, ὡς νικητὴν τοῦ θανάτου εἰς τοὺς αἰῶνας.

Τὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸν Βασιλέα τῆς δόξης, καὶ νικητὴν τοῦ θανάτου, Ἰησοῦν τὸν Ναζωραῖον, αὐτὸν ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὴν ᾠδὴν Ἀνανίου, τῷ ἀνάρχῳ πάντοτε Πατρὶ καὶ Θεῷ, τὴν δ᾽ ἄλλην Ἀζαρίου, τῷ συνανάρχῳ λόγῳ υἱῷ τοῦ Πατρὸς, καὶ Μισαὴλ τὸν ὕμνον, τῷ θείῳ Πνεύματι, καὶ συναϊδίῳ, ὀρθοδόξῳ πίστει προσάξωμεν λαοὶ, εἰς σωτηρίαν.

## ὨΔΗ Θ΄. ἬΧΟΣ Α΄.

Τύπον τῆς ἁγνῆς λοχείας σου, πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος, καὶ νῦν καθ᾽ ἡμῶν τῶν πειρασμῶν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμινον, ἵνα σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνωμεν.

Προεόρτιον τῶν Χριστοῦ γεννῶν.

Χαίροις πανάγνε Θεοδέγμων Μαρία, χαίροις ἀρχαίων τῶν πεπτωκότων βάσις. ἐν σοὶ γὰρ ὤφθη σήμερον ὁ δεσπότης. ὢ θαῦμα, καινουργῶν τοὺς φθαρέντας, καὶ πρὸς φῶς ἐπανάγων τὸ ἀνέσπερον Κόρη. Τῶν Χριστοῦ γεννῶν.

Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον, οὐρανὸν τὸ σπήλαιον, θρόνον Χερουβικὸν τὴν Παρθένον, τὴν φάτνην χωρίον. ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός. ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Στέργειν μὲν ἡμᾶς ὡς ἀκίνδυνον φόβῳ, Ῥᾶον σιω-

πὴν, τῷ πέθῳ ἢ παρθένε, Υ῞μνες ὑφαίνειν συντόνως τεθειμένες, Ε᾿ργῶδές ἐςὶν, ἀλλὰ ἐ μῆτερ θένος, Ο῞ση πέφυκεν ἡ προαίρεσις δίδε. Τε Πάσχα.

Ω῾ μῆτερ παρθένε, καὶ θκέ ἀψευδής, ἡ τεκοῦσα ἀσπόρως Χριςὸν τὸν Θεὸν ἡμῶν, τὸν ἐν ςαυρῷ ὑψωθέντα σαρκὶ, σὲ οἱ πιςοὶ ἅπαντες ἀξίως, συμπέτῳ νοῦ μεγαλύνομεν. Τε Πάσχα.

Φωτίζε, φωτίζε, ἡ νέα Ι῾ερεσαλὴμ. ἡ γὰρ δόξα Κυρίε ἐπὶ σὲ ἀνέτειλε. χόρευε νῦν, καὶ ἀγάλλε σιών. σὺ δὲ ἁγνὴ, τέρπε θκέ, ἐν τῇ ἐγέρσει τε τόκεσε. Τε Θωμᾶ.

Σὲ τὴν φαεινὴν λαμπάδα, καὶ μητέρα τε Θεε, τὴν ἀείζηλον δόξαν, καὶ ἀνωτέραν πάντων τῶν ποιημάτων, ἐν ὕμνοις μεγαλύνομεν.

Τῆς κοιμήσεως τῆς Θεοτόκε.

Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ παρθένε ἄχραντε. παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηςεύεται θάνατος. ἡ μετὰ τόκον παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σώζεις ἀεὶ, θεοτόκε τὴν κληρονομίαν σε. Τῆς Ο᾿κτωήχε.

Τὴν φωτοφόρον νεφέλην, ἐν ᾗ ὁ πάντων δεσπότης, ὡς ὑετὸς ἐξ ὀρανε, ἐπὶ πόκον κατῆλθε, καὶ ἐσαρκώθη δι᾿ ἡμᾶς, γενόμενος ἄνθρωπος ὁ ἄναρχος, μεγαλύνομεν πάντες, ὡς Μητέρα τε Θεε ἡμῶν ἁγνήν.

Α᾿πόρρητον τὸ τῆ παρθένε μυςήριον. ὀρανὸς γὰρ αὕ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τη καὶ θρόνος Χερουβικὸς, καὶ φωσφόρος πασάς ἀ-
ναδείχθη Χριστοῦ, τοῦ Θεοῦ καὶ παντοκράτορος, αὐ-
τὴν εὐλαβῶς ὡς Θεοτόκον μεγαλύνομεν.

Σὲ ἥνπερ εἶδε Μωϋσῆς ἀκατάφλεκτον βάτον, καὶ
κλίμακα ἔμψυχον, ἣν Ἰακὼβ τεθέαται, καὶ
πύλην οὐράνιον, δι᾽ ἧς διῆλθε Χριστὸς ὁ Θεὸς ἡ-
μῶν, ὕμνοις Μήτηρ ἁγνὴ μεγαλύνομεν.

Χαῖρε Θεοτόκε παρθένε εὐλογημένη. ἐκ σοῦ γὰρ
προῆλθε Θεὸς σεσαρκωμένος. τοῦτον δοξάζοντες
καὶ αἰνοῦντες μεγαλύνομεν.

Σὺ χωρίον ἁγνὴ τῆς θείας ἀπεριληψίας, ὑπὲρ φύ-
σιν ἐχρημάτισας, ὡς Θεῷ τὴν σάρκα δανεισαμέ-
νη, καὶ σοῦ παρθενικὴν μὴ διαῤῥήξασα μῆτραν,
ἐν τῷ τίκτειν ἀσπόρως, σὲ μεγαλύνομεν.

Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, καθεῖλε γὰρ δυ-
νάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινοὺς ὁ Θεὸς τοῦ
Ἰσραὴλ, ἐν οἷς ἐπεσκέψατο ἡμᾶς, ἀνατολὴ ἐξ
ὕψους, καὶ κατεύθυνεν ἡμᾶς εἰς ὁδὸν εἰρήνης.

Σὲ τὸν ἀμήτορα τὸ πρῶτον, καὶ ἀπάτορα τὸ δεύτερον,
ὡς Θεὸν καὶ ἄνθρωπον ἐν ὕμνοις μεγαλύνομεν.

Τὴν ζωοδόχον πηγὴν τὴν ἄφθαρτον, τὴν φωτοφόρον
λυχνίαν τῆς χάριτος, τὸν ναὸν τὸν ἔμψυχον, τὴν
σκηνὴν τὴν ἄχραντον, τοῦ οὐρανοῦ καὶ τῆς γῆς
τὴν πλατυτέραν, τὴν Θεοτόκον οἱ πιστοὶ μεγα-
λύνομεν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Σὲ τὴν ὁραθεῖσαν πύλην ὑπὸ Ἰεζεκιὴλ τοῦ Προφή-
του. ἐν ᾗ οὐδεὶς διῆλθεν, εἰμὴ Θεὸς μόνος, Θεοτό-
κον παρθένον, ἐν ὕμνοις τιμήσωμεν.

Χαίροις τὸ τῆς παρθενίας καύχημα. χαῖρε μήτηρ
ἄχραντε. ἣν ἡ σύμπασα κτίσις, θείαις ἐν ᾠ-
δαῖς μεγαλύνομεν.

Λειτουργὸς ἀσώματος, ἐπέστη λέγων τῇ κεχαριτω-
μένῃ, ὁ Κύριος μετὰ σοῦ, ἣν μεγαλύνομεν.

Σὲ τὴν ἐν κροσσωτοῖς χρυσοῖς, περιβεβλημένην
καὶ πεποικιλμένην Θεοτόκον, τὴν περιστερὰν πε-
ριηργυρωμένην, καὶ κεχρυσωμένην ἐν χλορότητι
χρυσίου, μεγαλύνομεν.

Σὲ τὸ ὄρος τοῦ Θεοῦ τὸ τετυρωμένον. ἐν ᾧ εὐδόκησε
σαρκὶ ὁ Θεὸς κατοικῆσαι, Θεοτόκε Μαρία με-
γαλύνομεν.

Σὲ τὴν οὐρανῶν ὑψηλοτέραν, καὶ ἐπὶ γῆς οὐρανὸν, καὶ
θρόνον γενομένην Μητέρα Θεοῦ, πᾶσαι αἱ γε-
νεαὶ μεγαλύνομεν.

Σεραφικῶς προσφωνοῦντες βοῶμέν σοι, Θεοτόκε οἱ
πιστοὶ, διὰ σοῦ ἐμεγάλυνε Κύριος, τοῦ ποιῆσαι
μεθ᾽ ἡμῶν. διόσε ἁγνὴ, καὶ τὸν ἐκ σοῦ ἀπειράν-
δρως σαρκωθέντα, ὡς Θεὸν τῶν ἁπάντων, ἐν
ὕμνοις μεγαλύνομεν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ἈΡΧῊ ΤΩ͂Ν ΕἹΡΜΩ͂Ν
## τοῦ δευτέρου Ἤχου.

### ὨΔῊ Α΄. ἮΧΟΣ Β΄.

Ἐν βυθῷ κατέστρωσέ ποτε, τὴν Φαραωνίτιδα πανστρατιάν, ἡ ὑπέροπλος δύναμις· σαρκωθεὶς ὁ λόγος δέ, τὴν παμμόχθηρον ἁμαρτίαν ἐξήλειψεν, ὁ δεδοξασμένος Κύριος, ἐνδόξως γὰρ δεδόξασται.

Τῶν ἁγίων Θεοφανείων.

Βυθοῦ ἀνεκάλυψε πυθμένα, καὶ διὰ ξηρᾶς οἰκείους ἕλκει, ἐν αὐτῷ κατακαλύψας ἀντιπάλους, ὁ κραταιὸς ἐν πολέμοις Κύριος, ὅτι δεδόξασται;

Στείβει θαλάσσης κυματούμενον σάλον, ἤπειρον αὖθις Ἰσραὴλ δεδειγμένον, Μέλας δὲ πόντος τριστάτας Αἰγυπτίους, Ἔκρυψεν ἄρδην ὑδατόστρωτος τάφος, Ῥώμῃ κραταιᾷ, δεξιᾶς τοῦ Δεσπότου.

Τῆς Ὀκτωήχου.

Δεῦτε λαοί, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ, τῷ

δι-

διελόντι θάλασσαν, καὶ ὁδηγήσαντι τὸν λαὸν, ὃν αὐῆκε, δουλείας Αἰγυπτίων, ὅτι δεδόξασαι.

Ἄτριπτον ἀσωμήθη, ἀβρόχως θάλατταν αὐύσας τρίβον, ὁ ἐκλεκτὸς ἐβόα Ἰσραὴλ, τῷ Κυρίῳ ἄσωμεν ὅτι δεδόξασαι.

Ἄσωμεν τῷ Κυρίῳ, τῷ ἐν θαλάσσῃ πάλαι λαὸν καθοδηγήσαντι, καὶ ἐν αὐτῇ τὸν Φαραὼ πανστρατιὰ βυθήσαντι, ᾠδὴν ἐπινίκιον ὅτι δεδόξασαι.

Τῷ τὴν ἄβατον κυμαινομένην θάλασσαν, θείῳ αὐτοῦ προστάγματι ἀναξηράναντι, καὶ πεζεῦσαι δι' αὐτῆς, τὸν Ἰσραηλίτην λαὸν καθοδηγήσαντι, Κυρίῳ ἄσωμεν ἐνδόξως γὰρ δεδόξασαι.

Συνεπάγη πρὸς ἑαυτὴν συσταλεῖσα, ὑδάτων φύσις διάρροιος. ἐρυθραῖον δὲ κῆτος Ἰσραὴλ ἀβρόχοις ἴχνεσι διεβιβάζετο, ἔπαινον τῷ σωτῆρι, θρηνγόροις προσάγων ἐν ᾄσμασιν.

Ἄσωμεν τῷ Κυρίῳ ᾆσμα καινὸν, ὅτι παραδόξως τὸν Ἰσραὴλ ἔσωσε, δουλείας λυτρωσάμενος, καὶ τυραννοῦντας ἐχθροὺς ἐκάλυψε θάλασσα.

Τὴν Μωσέως ᾠδὴν ἀναλαβοῦσα βόησον ψυχὴ, βοηθὸς, καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν. οὗτός μου Θεὸς καὶ δοξάσω αὐτόν.

Τῷ μεταστρέψαντι τὴν θάλασσαν εἰς ξηρὰν, καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς, ἄσωμεν Χριστῷ τῷ Θεῷ, ὅτι δεδόξασαι.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὑψαυχενῶν ἐν ἅρμασι, καὶ ἐν τριστάταις κραταιοῖς, ὁ Φαραὼ ἐν ἐρυθρᾷ κατεποντίσθη πανστρατί· ὁ δὲ Μωσῆς τὸν Ἰσραὴλ, ὡς ἐπὶ ξηρᾶς διαπερῶν θείῳ προστάγματι, ὑπέψαλλεν, ἄσωμεν τῷ Κυρίῳ ἐνδόξως γὰρ δεδόξασται.

Τῆς ἀβύσσου πάλαι τὸ ἄπειρον, ὁ Μωϋσῆς σταυροτύπως διέτεμε διὰ τῆς ῥάβδου, καὶ τὸν Φαραὼ πανστρατιᾷ ἐν αὐτῇ κατεπόντισεν· οἱ δὲ Ἰσραηλῖται τὸ τέρμα τῆς θαλάσσης διοδεύοντες, ᾠδὴν ἀνέμελπον, ἄσωμεν τῷ Κυρίῳ ἐνδόξως γὰρ δεδόξασται.

Ἐπὶ τὴν ἄβυσσον μολῶν, ὁ Ἰσραηλίτης λαὸς ἀνέμελπε, τῷ ἐν χειρὶ κραταιᾷ δυνατῷ, συντρίψαντι πολέμους, Φαραὼ τοῦ τυράννου. ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται.

Νάματα πάλαι ἐρυθρᾶς διέῤῥηξας, τῇ ῥάβδῳ τοῦ νομοθέτου, καὶ λαὸν περιούσιον ἀβρόχως διέσωσας, ἐπινίκιον ᾄδοντα ᾠδὴν, τῇ τροπαιούχῳ σου Χειρὶ δεξιᾷ.

Ἴχνεσιν ἀβρέχοις, Ἰσραηλίτης διεβίβαζε τῇ τομῇ τῶν ὑδάτων, προεδήλου δὲ τὸν σταυρὸν τῇ εἰσόδῳ, τὴν ταφὴν ἔξοδον τὴν σεπτὴν, καὶ θείαν ἐξόνάστασιν, ᾄδων ἐν αἰνέσει, τῷ Λυτρωτῇ ἐπινίκιον.

## Ὠ'ΔΗ' Β'. Η'ΧΟΣ Β'.

Οὐρανὸς ϗ ἡ γῆ προσεχέτωσαν, ϗ Χριςὸν ἀνυμνείτωσαν, τὸν ἐν Ἰορδάνῃ βροτῶν ἀναπλάσαν-τα σήμερον γένος, φθαρὲν ἐκ παραβάσεως.

Οὐρανός μοι πρόσεχε, γῆ ἐνωτίζȣ τὰ ῥήματά μȣ, ὅτι ἐκ βάθȣς τῆς καρδίας μȣ, ἐξερεύξάμην Θεȣ̃ μεγαλȣργίαν, σήμερον τὴν μνήμην, τῶν σοφῶν Ἀποςόλων αὐτȣ̃.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι ὁ ἐν θαλάσσῃ σώσας, ϗ ἐν ἐρήμῳ κορέσας, Ἰσραηλίτην λαὸν, καὶ τὸ ὕδωρ ἐκ πέτρας πηγάσας τοῖς βροτοῖς, ἵνα τὸν πάλαι πεπτωκότα φορέσας, ἑλκύσω πρὸς ἐμαυτὸν, δι' ἄφατον ἔλεος.

Προσέχετε λαός μȣ τῷ νόμῳ μȣ, κλίνατε τὸ ȣ̃ς ὑμῶν εἰς τὰ ῥήματα τȣ̃ ςόματός μȣ, ὅτι τὸ ὄνομά σȣ Κύριε ἐπεκαλεσάμην.

Προσέχετε λαοὶ τὰ τεράςια, τῶν ἔργων τῆς θείας μȣ δυναςείας, ϗ ἐν τȣ́τῳ ἐπιγνώσετε, ὅτι μόνος ἐγώ εἰμι Θεὸς τȣ̃ παντός.

Θεὸς ἀληθινὰς τὰ ἔργα αὐτȣ̃, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις.

## ΩΔΗ Γ΄. ΗΧΟΣ Β΄.

Ἐξήνθησεν ἡ ἔρημος, ὡσεὶ κρίνον Κύριε, ἡ τῶν ἐθνῶν στειρεύουσα Ἐκκλησία τῇ παρουσίᾳ σου, ἐν ᾗ ἐστερεώθη ἡ καρδία μου. Τῶν φώτων.

Ἰδοὺ ὁ διδοὺς τοῖς Βασιλεῦσιν ἡμῶν Κύριος, καὶ κέρας Χριστῶν αὐτοῦ ὑψῶν, παρθένου ἀποτίκτεται. μολεῖ δὲ πρὸς τὸ βάπτισμα. αὐτῷ πιστοὶ βοήσωμεν, οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν δίκαιος πλήν σου Κύριε.

Ὅσοι παλαιῶν ἐκλελύμεθα βρόχων, Βορῶν λεόντων συντεθλασμένων μύλας, Ἀγαλλιῶμεν καὶ πλατυνῶμεν στόμα, Λόγον πλέκοντες ἐκ λόγων μελῳδίας, Ὧ τῶν πρὸς ἡμᾶς ἥδεται δωρημάτων.

Τῆς Ὀκτωήχου.

Τόξον συνετρίβη δυνατῶν, τῷ κράτει σου Χριστέ, καὶ δύναμιν ἀσθενεῖς, σὲ περιεζώσαντο.

Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας, ἐπλάτυνας τὸ στόμα μου ἐπ' ἐχθρούς μου. ηὐφράνθη γὰρ τὸ πνεῦμά μου ἐν τῷ ψάλλειν. οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλήν σου Κύριε.

Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

Στερεωθέντα μου τὸν νοῦν, καρποφόρον ὁ Θεὸς ἀνάδειξόν με, Γεωργὲ τῶν καλῶν, φυτουργὲ τῶν ἀγαθῶν, τῇ εὐσπλαγχνίᾳ σου.

Στερέωσόν με Κύριε ὁ Θεός μου, ἵνα μὴ καυχήσηται ἐπ' ἐμὲ ὁ ἐχθρός μου. σὺ γάρ μου εἶ Κύριε στερέωμα, καὶ καταφυγὴ καὶ δύναμις.

Φρουρὸς ἀσφαλὴς, καὶ ἄσειστον ἔρεισμα, ὑπάρχεις Χριστὲ τῶν ἐλπιζόντων εἰς σὲ, ἀκλονήτους στηρίζων ἡμᾶς, βεβαίωσον ἐν τῇ στερρᾷ σου κρηπῖδι τῆς ἐλπίδος, καὶ πίστεως.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου. ὅτι ἐτέχθης ἐπὶ τῆς γῆς, καὶ ἔσωσας τὸν πεπλανημένον.

Σὺ τῷ λόγῳ σου Κύριε, οὐρανοὺς ἐστερέωσας, σὺ καὶ τὴν ἐμὴν ἐν τῇ πίστει καρδίαν στερέωσον.

Οὐρανὸν ἐκτείνας ὡσεὶ δέρριν, καὶ τὴν ξηρὰν ἑδράσας ἐφ' ὑδάτων, τῷ θείῳ σου νεύματι Χριστὲ ὁ Θεὸς, κἀμὲ στήριξον, ἐν τῇ ὀρθοδόξῳ πίστει ἀνακράζοντα, ἅγιος οὐκ ἔστι πλὴν σοῦ.

Στερέωσόν με Κύριε, ὁ στερεώσας δυνάμει τοὺς οὐρανοὺς, καὶ στήριξον τὴν καρδίαν μου εἰς τὸν φόβον σου, ἵνα τῆς Ἄννης τὴν ᾠδὴν προσάξωσοι τῷ λόγῳ. οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, ὁ ὑψώσας τὸ κέρας τῶν Χριστῶν αὐτοῦ.

Οἱ οὐρανοὶ τῶν οὐρανῶν, τὴν δόξαν σου σωτὴρ διηγου-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

μενοι, ἐπ' αἴνεσιν ἐγείρουσι τῶν Ἀγγέλων τὰ πλήθη, καὶ βροτοὶ ἀναμέλπουσιν· οὐκ ἔστι πλὴν σοῦ Θεὸς καὶ Κύριος, ὁ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα.

Ὁ καταρχὰς τῇ σοφίᾳ σου Χριστὲ, τοὺς οὐρανοὺς στερεώσας ἐν συνέσει, ἑδράσας δὲ γῆν θεοπρεπῶς, ἐπὶ ὑδάτων ἀπείρων τῷ κράτει σου, στερέωσόν με δέομαι, ἐν τῇ στερεᾷ κρηπῖδι τῆς πίστεως.

Ὁ στερεώσας καταρχὰς τῇ σοφίᾳ, καὶ τῷ λόγῳ τοὺς οὐρανοὺς ἐν συνέσει, καὶ γῆν ἑδράσας ἐπὶ ὑδάτων, ἀνάστηθι ἐκ τάφου, διδοὺς ἡμῖν κέρας σωτηρίας.

## ᾨΔΗ Δ'. ΗΧΟΣ Β'.

Ἐλήλυθας ἐκ παρθένου, οὐ πρέσβυς οὐκ Ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος, σεσαρκωμένος, καὶ ἔσωσας ὅλον με τὸν ἄνθρωπον. διὸ κραυγάζω σοι, δόξα τῇ δυνάμει σου Κύριε.

Τῶν φώτων.

Ἀκήκοε Κύριε, φωνῆς σου ὃν εἶπας, φωνὴ βοῶντος ἐν ἐρήμῳ. ὅτι ἐβρόντησας πολλῶν ἐπὶ ὑδάτων, τῷ σῷ μαρτυρούμενος υἱῷ, ὅλος γεγονὼς τοῦ παρόντος Πνεύματος δὲ ἐβόησε. σὺ εἶ Χριστὸς, Θεοῦ σοφία καὶ δύναμις.

Πυρσῷ καθαρθεὶς μυστικῆς θεωρίας,

Ὑμνῶν Προφήτης τὴν βροτῶν καινουργίαν,
Ῥήγνυσι γῆρυν Πνεύματι κροτουμένην,
Σάρκωσιν ἐμφαίνουσαν ἀῤῥήτου λόγου,
Ὦ τῶν δυναστῶν τὰ κράτη συνέτριβη.

Τῆς Ὀκτωήχου.

Ἀκήκοα Κύριε τὴν ἔνδοξόν σου οἰκονομίαν, καὶ ἐδόξασα φιλάνθρωπε τὴν ἀκατάληπτόν σου δύναμιν.

Ὑμνῶσε, ἀκοὴ γὰρ Κύριε εἰσακήκοα καὶ ἐξέστην, ἕως ἐμοῦ ἥκεις γὰρ, ἐμὲ ζητῶν τὸν πλανηθέντα, διὸ τὴν πολλήν σου συγκατάβασιν, τὴν εἰς ἐμὲ δοξάζω πολυέλεε.

Ἐξ ὄρους λίθος ἄνευ χειρὸς ἐτμήθης, Χριστὲ ἐκ τῆς παρθένου μητρός. ὅθεν ὁ Προφήτης, προϊδὼν ἀνεβόα, εἰς σωτηρίαν λαοῦ σου ἐλήλυθας. δόξα τῇ δυνάμει σου Κύριε.

Προβλεπτικῶς ὁ Προφήτης, μυσταγωγηθεὶς σοῦ Χριστὲ τὴν ἔλευσιν ἐξίσταται. ἣν προαγορεύων ἐβόα, τῆς αἰνέσεώς σου πεπλήρωται ἡ γῆ. Θεοπρεπῶς γὰρ τὴν ἡμετέραν πτωχείαν οὐ παρεῖδες, ἀλλ' ἦλθες, καὶ ἔσωσας.

Εἰσακήκοα τὴν ἀκοὴν τῆς θείας δυναστείας σου Χριστὲ, ὅτι ἀσπόρως ἐν γαστρὶ Παρθένου συνελήφθης, καὶ ἐβόησα, δόξα τῇ δυνάμει σου Κύριε.

Τὴν ἐκ παρθένου σου γέννησιν, ὁ Προφήτης προβλέπων, ἀνεκήρυττε βοῶν, τὴν ἀκοήν σου ἀκήκοα, καὶ

ἐφοβήθην. ὅτι ἀπὸ Θαιμάν, καὶ ἐξ ὄρους ἁγίου, κατασκίου ἐπεδήμησας Χριστέ.

Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἔθου γὰρ ἀγάπησιν κραταιὰν ἰσχύος σου Κύριε.

Τὸ ἄφραστον μυστήριον, τῆς ἐνανθρωπήσεώς σου Χριστὲ ὁ Θεὸς, μυστικῶς προκατιδὼν ὁ Ἀββακοὺμ ἀνεβόα, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, καὶ δοξάζω τὴν δύναμίν σου.

Θαῦμα φρικτὸν ἐνηχηθεὶς, ὁ θαυμάσιος Ἀββακοὺμ, τὴν ἀπόρρητόν σου Λόγε Θεοῦ παρουσίαν, ὅτι κατασκίου δασέως, ἀναλλοίωτε σαρκούμενος προῆλθες. καὶ ὡς ἐν ἐκστάσει γεγονὼς ἀνεκραύγαζε, δόξα τῇ δυνάμει σου Κύριε.

Λαμπαδίῳ τὸ πρὶν ὁ Ἀββακοὺμ φωτιζόμενος Κύριε, τὴν σὴν ἐνανθρώπησιν, προμηνύων ἐβόα. ἐξ ἁγίας Παρθένου προελθεῖν ἀναλλοίωτε, εἰς ἀνάπλασιν τοῦ πάλαι Ἀδάμ.

Ἐκ Παρθένου ἀλογχεύτως, ἐπέφανας τῷ κόσμῳ ὡς ἥλιος, τῆς ἀφθαρσίας τὴν δόξαν καταυγάζων ἡμῖν, τοῖς ἐξ Ἀδὰμ ἐν παραβάσει κατακριθεῖσι Κύριε. διὸ τῇ ἐπιπνοίᾳ τοῦ Πνεύματος, ὁ Προφήτης Ἀββακοὺμ ἀνεβόα. δόξα Χριστὲ τῇ δυνάμει σου.

Δύο λῃστῶν ἐν μέσῳ, ἡ ζωὴ ἐπὶ ξύλου ἐκρέματο.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

συνάψαι γὰρ τὰ πρὶν διεςῶτα τὰς παλάμας ἐξέτεινε, τῇ ἰδίᾳ βουλήσει, καὶ ἀνας ὰς ἐξ ἰήμερος, συνανέςησε τὴν φύσιν τὴν βροτείαν, δοξάζουσαν αὐτοῦ τὴν θείαν συγκατάβασιν.

## Ω'ΔΗ' Ε'. Η'ΧΟΣ Β'.

Μεσίτης Θεοῦ καὶ ἀνθρώπων γέγονας, Χριςὲ ὁ Θεός. διὰ σοῦ γὰρ δέσποτα, τὴν πρὸς τὸν ἀρχίτον πατέρα σου, ἐκ νυκτὸς ἀγνωσίας, προσαγωγὴν ἐσχήκαμεν.

Τῶν φώτων.

Ἰησοῦς ὁ ζωῆς ἀρχηγὸς, λῦσαι τὸ κατάκριμα ἥκει, Α'δὰμ τοῦ πρωτοπλάςου. καθαρσίων δὲ, ὡς Θεὸς μὴ δεόμενος, τῷ πεσόντι καθαίρεται ἐν τῷ Ἰορδάνῃ, ἐν ᾧ τὴν ἔχθραν κτείνας, ὑπερέχουσαν πάντα νοῦν εἰρήνην χαρίζεται.

Ε'χθροῦ ζοφώδους καὶ βεβορβορωμένου,
Ἰὸν καθάρσει πνεύματος λελουμένοι,
Νέαν προσωρμίσθημεν ἀπλανῆ τρίβον,
Α'γουσαν ἀπρόσιτον εἰς θυμηδίαν,
Μόνοις προσιτὴν οἷς Θεὸς κατηλλάγη.

Τῆς Ο'κτωήχου.

Ο' τοῦ φωτὸς χορηγὸς, καὶ τῶν αἰώνων ποιητὴς Κύριος, ἐν τῷ φωτὶ τῶν σῶν προσαγμάτων ὁδήγη-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σον ἡμᾶς, ἐκτὸς σου γὰρ ἄλλον Θεὸν οὐ γινώσκωμεν.

Τὴν ἀχλὺν τῆς ψυχῆς μου, σωτήρ μου διασκεδάσας, τῷ φωτὶ τῶν ἐντολῶν σου καταύγασόν με, ὡς μόνος Βασιλεὺς τῆς εἰρήνης.

Ὁ ἄνθραξ τοῦ Ἠσαΐα, προσφθεὶς ἥλιος παρθενικῆς ἀπὸ γαστρὸς ἀνέτειλε, τοῖς ἐν σκότει πεπλανημένοις, θεογνωσίας φωτισμὸν δωρούμενος.

Ὁ φωτισμὸς τῶν ἐν σκότει κειμένων, ἡ σωτηρία τῶν ἀπεγνωσμένων Χριστὲ σωτήρ μου, πρὸς σὲ ὀρθρίζω Βασιλεῦ τῆς εἰρήνης, φώτισόν με τῇ ἐπιλάμψει σου. ἄλλον γὰρ ἐκτός σου Θεὸν οὐκ ἐπίσταμαι.

Ἐκ νυκτὸς ὑμνοῦμέν σε Χριστὲ ὁ Θεὸς, ὅτι εὐδοκίᾳ τοῦ Πατρὸς ἑαυτὸν εἰς κένωσιν καθῆκας, διὰ τὴν σωτηρίαν ἡμῶν.

Κτίσαι ὑμᾶς Κύριε, τοὺς αἰχμαλωτισθέντας ὑπὸ τῆς ἁμαρτίας. καὶ φώτισον σωτὴρ, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε τὸν μόνον λυτρωτὴν, καὶ φωταγωγὸν τῶν ψυχῶν ἡμῶν.

Ζωὴ πεφυκὼς, καὶ φῶς ὑπάρχων Χριστὲ ὁ Θεὸς, τῆς ζοφερᾶς ἀγνοίας διασκεδάσας τὴν ἀχλὺν, φωταγώγησον ἡμῶν τὰς διανοίας, τὰς νοερὰς αἰσθήσεις, τῷ ἀδύτῳ σου φέγγει τῆς γνώσεως.

Τῆς νυκτὸς διελθούσης, ἤγγικεν ἡ ἡμέρα, καὶ τὸ φῶς τῷ κόσμῳ ἐπέφανε. διὰ τοῦτο ὑμνεῖτε, τάγματα Ἀγγέλων, καὶ δοξολογεῖτε τὰ σύμπαντα.

Ὁ σκιό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὁ σκιόγραφον ἀχλὺν, αἰνιγμάτων σκεδάσας, καὶ τῶν πιστῶν ἐκβάσει τῆς ἀληθείας, διὰ τῆς θεόπαιδος καταυγάσας τὰς καρδίας, καὶ ἡμᾶς τῷ φωτί σου Χριστὲ καθοδήγησον.

Τὸ ἀνέσπερον φῶς σου Χριστὲ, λάμψον εἰς ἡμᾶς φωτοδότα, καὶ τὸν ζόφον τῶν πταισμάτων ἡμῶν διασκέδασον, τῆς εἰρήνης ὁ ἄναξ.

Τὸ φῶς τῶν προσταγμάτων σου, καταύγασον Χριστὲ τῇ καρδίᾳ μου, ὅπως ἐν αἰνέσει τῇ σῇ ἀπαύστως δοξολογήσω, ἐκ νυκτὸς ὀρθρίσας ἀγαθότητα.

Σὲ τὸν τῆς δόξης ἥλιον ἄδυτον Χριστὲ, ἐκ καρδίας ἱκετεύω, φώτισόν μου τῆς ψυχῆς τὰς πεπηρωμένας κόρας, ἐκ νυκτὸς ἁμαρτίας πρὸς ἐργασίαν τῶν ἐντολῶν σου.

Τῷ φωτισμῷ τῶν ἐντολῶν σου, μόνε οἰκτίρμον καταύγασον, τὴν ψυχήν μου δέομαι, νῦν ἐκ βάθους ὕπνου τῆς ῥαθυμίας, πρὸς ὄρθρον ἀνάστησον, σύστασιν χοϊκὴν, ὅπως ὑμνήσω σε Χριστὲ φῶς τὸ ἀνέσπερον.

Ὄρθρος φαεινὸς ἀνέτειλεν ἐκ τάφου, τῇ γὰρ καθόδῳ τῇ αὐτοῦ φωτὸς ἐπλήσθη τὰ καταχθόνια, δικαίων ψυχαὶ ἀνέστησαν ἐνδόξῃ δοξολογοῦσαι, τὴν φρικτὴν καὶ θε[ίαν] ἐξανάστασιν. σὺ γὰρ μόνος Βασιλεὺς, ὁ [κ]ραταιὸς καὶ δυνατὸς, καὶ τῆς εἰρήνης χορηγός.

ΩΔΗ

## Ω'ΔΗ' ϛ'. Η'ΧΟΣ Β'.

Ε'ν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον, ἐκ φθορᾶς ὁ Θεός μου ἀνάγαγε.

Τῶν φώτων.

Η' φωνὴ τοῦ λόγου, ὁ λύχνος τοῦ φωτὸς ὁ ἑωσφόρος, ὁ τοῦ ἡλίου πρόδρομος, ἐν τῇ ἐρήμῳ μετανοεῖτε πᾶσι βοᾷ τοῖς λαοῖς, καὶ προκαθαίρεσθε. ἰδοὺ γὰρ πάρεστι Χριστὸς, ἐκ φθορᾶς τὸν κόσμον λυτρούμενος.

Ι'μερτὸν ἐξέφηνε σὺν πανολβίῳ,
Η'χῷ Πατὴρ, ὃν γαστρὸς ἐξηρεύξατο,
Ναίφησιν οὗτος συμφυὴς γένος πέλων,
Φώταυγος ἐξόρουσεν ἀνθρώπων γένους,
Λόγος τέμου ζῶν, καὶ βροτὸς προμηθείᾳ.

Τῆς Ο'κτωήχου.

Η'χους ῥημάτων δεήσεως, ἐκ κατωδύνου δέσποτα ψυχῆς, ἐπακούσας τῶν δεινῶν με λύτρωσαι. μόνος γὰρ εἶ τῆς ἡμῶν σωτηρίας αἴτιος.

Ε'ν βυθῷ ἁμαρτημάτων συνέχομαι σωτὴρ, καὶ ἐν πελάγει τοῦ βίου χειμάζομαι, ἀλλ' ὥσπερ τὸν Ι'ωνᾶν ἐκ τοῦ θηρὸς, κἀμὲ τῶν παθῶν ἀνάγαγε, καὶ διάσωσόν με.

Πρὸς Κύριον ἐκ κήτους ἡ Ἰωνᾶς ἐβόησε, σύ με ἀνάγαγε, ἐκ πυθμένος ᾅδου δέομαι. ἵνα ὡς λυτρωτῇ, ἐν φωνῇ αἰνέσεως, ἀληθείας τε Πνεύματι θύσωσοι.

Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, καὶ ἀπέστειλε τὸν σωτῆρα τοῦ κόσμου, καὶ ἐρρύσατο ἐκ φθορᾶς τὴν ζωήν μου.

Ἄβυσσός με πολλὴ ἁμαρτημάτων κυκλοῖ, καὶ βοῶσοι τὸν Προφήτην ἐκμιμούμενος, ἐκ φθορᾶς με Κύριε ἀνάγαγε.

Τὴν ἐκ βάθους καρδίας, μὴ παρίδῃς δέησιν τοῦ οἰκέτου σου Κύριε. ἀλλ' ὡς τὸν Προφήτην Ἰωνᾶν, τοῦ κήτους ἐκ γαστρὸς ὑπεξήγαγες, καὶ ἡμᾶς τοῦ νοητοῦ θηρὸς, τοῦ ψυχοφθόρου διάσωσον.

Ἐκ τοῦ βυθοῦ με ἀνάγαγε, ὁ Ἰωνᾶς σοι ἐβόησε, τύπος τῆς ταφῆς, καὶ τῆς ἀναστάσεως ὑπάρχων. ἣν ἡμῖν ἐδωρήσω παντοδύναμε Σωτήρ.

Ἀλίῳ θηρὶ περιπεσὼν ὁ Ἰωνᾶς, ἀσινὴς σέσωσται. ἐγὼ δὲ συσχεθεὶς ὑπὸ πολλῶν μου δεινῶν, εἰς χάος ἔρριμαι. ἀλλὰ δέομαί σου Ἰησοῦ ὁ Θεός μου, προφθάσας με οἴκτειρον, καὶ ἐκ σκότους ἀνάγαγε τὴν ζωήν μου ἐκ φθορᾶς.

Τὸν εἰς βάθη καταντήσαντα τῆς θαλάσσης, καὶ τριημερεύσαντα ἐν κητώοις στέρνοις, Ποντίου θηρὸς πάλαι Ἰωνᾶν, μιμούμενος κράζωσοι, σωτήρ μου

βοῶντα, ἀνάγαγέ με ἐξ ᾅδου κατωτάτου, ὅπως θύσω σοι μετὰ φωνῆς αἰνέσεως.

Ἀπὸ γαστρὸς ἀβύσσου τῶν ὀφλημάτων μου σωτὴρ, ἐξάγαγε τὸ πνεῦμά μου, ὡς πάλαι τὸν Ἰωνᾶν τῆς κήτους γαστρὸς ὑπεξήγαγες, ἵνα ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, τὴν σὴν αἰνέσω ἀγαθότητα.

Ἰλιγγιάσας ξένῳ καταδύματι, ὁ Προφήτης Ἰωνᾶς πρὸς κήτους βαίνων βύθιον, ὡς ἐκ τάφου γὰρ τὴν πρόοδον εἰσδὺς, αὖθις ἀνεβόησεν, ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου Κύριε δέομαι, καὶ σῶσόν με.

Προτυπῶν σου τὴν ταφὴν, σταυρὸν, καὶ τὸ πάθος ὁ Ἰωνᾶς, ἐν τῇ κοιλίᾳ τοῦ κήτους, Σῶτερ τριημερεύσας, ἀνέθορεν, ἀνέκραγεν, ἀναβήτω ἡ ζωή μου, καὶ ἔλθοι ἡ προσευχή μου εἰς ναόν σου τὸν θεῖον, ὦ Κύριε τοῦ ἐλέους.

## ΩΔΗ Ζ'. ΗΧΟΣ Β'.

Ἀντίθεον πρόσταγμα, παρανομοῦντος τυράννου, μετάρσιον τὴν φλόγα ἀνερρίπισε, Χριστὸς δὲ ἐφήπλωσε θεοσεβέσι παισὶ, δρόσον τὴν τοῦ πνεύματος, ὁ ὢν εὐλογημένος, καὶ ὑπερένδοξος.

Τῶν φώτων.

Νέους εὐσεβεῖς, καμίνου πυρὸς προσομιλήσαντας, διασυρίζον πνεῦμα δρόσου, ἀβλαβεῖς διεφύλαξε, καὶ θείου Ἀγγέλου συγκατάβασις. ὅθεν

ἐν φλογὶ δροσιζόμενοι, εὐχαρίστως ἀνέμελπον, ὑπερύμνειτε, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἔφλεξε ῥείθρῳ τῶν δρακόντων τὰς κάρας,
Ὁ τῆς καμίνου τὴν μετάρσιον φλόγα,
Νέους φέρουσαν δυσσεβεῖς κατδυνάσας,
Τὴν δυσκάθεκτον ἀχλὺν ἐξ ἁμαρτίας.
Ὅλην πλυνεῖ δέ, τῇ δρόσῳ τοῦ πνεύματος.

Τῆς Ὀκτωήχου.

Εἰκόνος χρυσῆς, ἐν πεδίῳ Δεηρᾶ λατρευομένης, οἱ τρεῖς σου παῖδες κατεφρόνησαν, ἀθεωτάτου προστάγματος. μέσον δὲ πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ῥήτορες ἀνεδείχθησαν παῖδες, φιλοσοφώτατοι ποτέ, ἐκ θεολήπτου ψυχῆς γὰρ θεολογοῦντες χείλεσιν ἔμελπον, ὁ ὑπέρθεος τῶν πατέρων, καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Τὰ Χερουβὶμ μιμούμενοι παῖδες ἐν τῇ καμίνῳ, ἐχόρευον βοῶντες, εὐλογητὸς εἶ ὁ Θεός, ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες, ταῦτα πάντα διὰ τὰς ἁμαρτίας ἡμῶν, ὁ ὑπερύμνητος, καὶ δεδοξασμένος εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐν καμίνῳ τοῦ πυρός, τῶν Ἑβραίων τοῖς παισὶ συγκαταβάντα, καὶ τὴν φλόγα εἰς δρόσον μετα-

βαλόντα Θεὸν, ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ
ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἵνα τὸν παράδοξόν σου τόκον Χριστὲ, τὸν ἐκ τῆς παρ
θένου προτυπώσῃς ἐμφανῶς, ἀκαταφλέκτους ἐν
καμίνῳ παῖδας διεφύλαξας, ἐν ὕμνοις μελω
δοῦντάς σοι, ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Βάτος ἐν ὄρει πυράφλεκτος, καὶ δροσοβόλος κάμινος
Χαλδαϊκὴ, σαφῶς προεζωγράφησε Θεόνυμφε. τὸ
γὰρ θεῖον ἄϋλον, ἐν ὑλικῇ γαστρὶ, πῦρ ἀφλέ
κτως ἐδέξω. διὸ τῷ ἐκ σοῦ τεχθέντι ψάλλομεν,
εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὑπερκειμένῳ θαύματι ἐν Βαβυλῶνι, παῖδες τῆς
πατρῴας ἐμφανῶς, εἴραντο δόξης συνηγορίαν,
ἐν καμίνῳ πυρπολούμενοι, καὶ δροσοβόλοις αὔ
ραις ἐνδιδόμενοι, συμφώνως ἀνέμελπον, ὑπερύ
μνητε Κύριε, ὁ Θεὸς ὁ τῶν πατέρων εὐλογητὸς εἶ

Τρεῖς παῖδες ἐν καμίνῳ τὴν τριάδα τυπώσαντες,
Βασιλέα Κύριον ἐκήρυξαν, καὶ τὴν πλάνην τῶν
εἰδώλων κατήργησαν βοῶντες. εὐλογητὸς εἶ ὁ
Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὁ τὴν κάμινον πάλαι, τὴν παμφλάζουσαν σβέ
σας, καὶ τοὺς παῖδας τῷ ὄμβρῳ τοῦ πνεύματος δρο
σίσας. εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Τῆς τρισοφαοῦς τριάδος ἰσάριθμοι παῖδες, οἱ ἐξ
Ἱερουσαλὴμ, ἐν Βαβυλῶνι, Βασιλέως ἀσεβοῦς

καταπάτησαν δόγμα, καὶ εἰς πῦρ ἐμβληθέντες ἐχόρευον λέγοντες, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Θεοσεβεῖς παῖδες, τὴν Σιὼν αἰχμάλωτοι, ἐν Βαβυλῶνι προκείμενοι, καὶ καμίνου μέσον ἐμβληθέντες, παγκόσμιον χορείαν ἤγειραν ψάλλοντες. ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Οἱ εὐσεβείας ἐρασταὶ, παῖδες ἐν Βαβυλῶνι, εἰκόνι τῇ χρυσῇ μὴ λατρεύσαντες, ἐν τῇ καμίνῳ τοῦ πυρὸς χαίροντες ἀπηυτομόλησαν, καὶ τὴν φλόγα εἰς δρόσον ἤνεγκαν, ἐπιλάμψει Θεοῦ μελῳδοῦντες, ὁ τῶν πατέρων Θεὸς, τῷ ναῷ σου εὐλογητὸς εἶ.

Ἐν καμίνῳ φλογὸς, νεανίαι τρεῖς ἐμβληθέντες, χορείαν συγκροτήσαντες, ὡς ἐν ἀφθάρτῳ λειμῶνι Χριστῷ συνευωχούμενοι, ἐβόων ψάλλοντες, ὁ τῶν πατέρων Θεὸς, ἐν τῷ ναῷ σου εὐλογητὸς εἶ.

Ἔργον ὁ εἰργάσω, ἐξ ἡμερῶν αἰῶνος τετέλεκας, παμβασιλεῦ, τῶν πατέρων ὁ Θεὸς, τῇ ἐνδόξῳ ἀναστάσει σου.

## ΩʹΔΗʹ Ηʹ. ΗʹΧΟΣ Βʹ.

Κάμινος ποτὲ, πυρὸς ἐν Βαβυλῶνι, τὰς ἐνεργείας διεμέριζε, τῷ θείῳ προστάγματι, τοὺς Χαλδαίους

καταφλέγουσα, τοὺς δὲ πιστοὺς δροσίζουσα ψάλλοντας, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τῶν φώτων.

Μυστήριον παράδοξον, ἡ Βαβυλῶνος ἔδειξε κάμινος, πηγάσασα δρόσον. ὅτι ῥείθροις ἔμελλεν ἄυλον πῦρ εἰσδέχεσθαι ὁ Ἰορδάνης, καὶ στέρξαι σαρκὶ βαπτιζόμενον τὸν κτίστην. ὃν εὐλογοῦσι λαοί, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ἐλευθέρα μὲν ἡ κτίσις γνωρίζεται.
Υἱοὶ δὲ φωτὸς οἱ πρὶν ἐσκοτισμένοι.
Μόνος στενάζει τοῦ σκότους ὁ προστάτης.
Νῦν εὐλογείτω συντόνως τὸν αἴτιον,
Ἡ πρὶν τάλαινα τῶν ἐθνῶν παγκληρία.

Τῆς Ὀκτωήχου.

Ἰνδάλματος χρυσοῦ καταπτύσαντες τρισόλβιοι νεανίαι, τὴν ἀπαράλλακτον καὶ ζῶσαν Θεοῦ εἰκόνα τεθεαμένοι, μέσον τοῦ πυρὸς ἀνέμελπον, ἡ οὐσιωθεῖσα ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐν τῇ βάτῳ Μωσῇ, τῆς παρθένου τὸ θαῦμα, ἐν Σιναίῳ τῷ ὄρει προτυπώσαντα ποτέ, ὑμνεῖτε εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἀρρήτῳ σοφίᾳ συστησάμενον τὰ πάντα Θεὸν λόγον, καὶ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγόν-

τα. εὐλογεῖτε τὰ ἔργα ὡς κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Λαμπαδηφόροι τῇ ψυχῇ, λαμπροὶ ὑπὲρ χιόνα, ὑπερλάμποντες οἱ ὅσιοι παῖδες, μέσον τῆς φλογὸς οὐκ ἐφλέχθησαν. πάντες γὰρ ὁμοῦ, ὅσα ὑπὸ ποίησιν ἑαυτοῖς συγκαλοῦμενοι, πρὸς θεῖον ὕμνον, ἐν ἀγαλλιάσει ἔμελπον. ὑμνεῖτε τὰ ἔργα κυρίου τὸν κύριον.

Τῷ δόγματι τῷ τυραννικῷ, οἱ ὅσιοι τρεῖς παῖδες μὴ πεισθέντες, ἐν τῇ καμίνῳ βληθέντες, θεὸν ὁμολόγουν ψάλλοντες, εὐλογεῖτε τὰ ἔργα κυρίου τὸν κύριον.

Ἔφριξε παίδων δι᾽ αγῶν, τὸ ὁμόστολον ψυχῆς ἄσπιλον σῶμα, καὶ εἶξε τὸ τραφὲν, ἐν ἀπείρῳ ὕλῃ ἀκάμαντον πῦρ. ἀειζώου δὲ ἐκμαρανθείσης φλογὸς, διαιωνίζων ὕμνος ἀνεμέλπετο, τὸν κύριον πάντα τὰ ἔργα ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ῥῆμα τυράννου ἐπεὶ ὑπερίσχυσεν, ἑπταπλασίως κάμινος ἐξεκαύθη ποτέ. ἐν ᾗ παῖδες, οὐκ ἐφλέχθησαν, Βασιλέως πατήσαντες δόγμα, ἀλλ᾽ ἐβόων. πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐν τῇ καμίνῳ τῇ τῶν παίδων προαπεικονίσας ποτὲ, τὴν σὴν μητέρα Κέ. ὁ γὰρ τύπος τούτους τοῦ πυρὸς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ἐξείλετο, ἀφλέκτως ἐμβατεύοντας. Ὃν ὑμνοῦμεν ἐμφανισθεῖσαν διὰ σοῦ τοῖς πέρασι σήμερον, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τὸν πάλαι δροσίσαντα τῶν Ἑβραίων τοὺς παῖδας ἐν φλογὶ, καὶ φλέξαντα κύριον τοὺς Χαλδαίους παραδόξως ἐν αὐτῇ, ἀνυμνήσωμεν λέγοντες, εὐλογεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὸν δι' Ἀγγέλου τεχθέντα ἐκ τῆς Θεοτόκου, παῖδες ὑπερυψοῦτε Χριστὸν τὸν Θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας.

Τὸν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγόντα, λόγῳ τὰ πάντα, ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐν φωναῖς Ἀγγελικαῖς, ἐν οὐρανοῖς δοξαζόμενον Θεὸν, αἰνέσωμεν λέγοντες, οἱ γηγενεῖς εἰς αἰῶνας ἅπαντας.

Ἀγάλματος χρυσοτεύκτου, ἐν πεδίῳ Δεηρᾷ ἐργάνων Μούσαις λατρευομένου, καὶ Θεοῦ τοῦ πάντων πλαστουργοῦ παρορωμένου, οἱ Σιωνῖται παῖδες οὐχ ὑπήκουσαν δόγματι παρανόμῳ. ἀλλ' ὑπέδειξαν τῇ κτίσει κάμινον δροσοβολοῦσαν, τύραννον θεολογοῦντα, λαὸν ὑπερυψοῦντα, τὸν νόμον Θεοῦ τοῦ παντὸς εἰς πάντας τοὺς αἰῶνας.

Δόγμα παράνομον, οἱ γενναῖοι παῖδες κατεφρόνησαν, καὶ Μουσικῶν ὀργάνων ἠχὴν οὐχ εἵλοντο, ἀλλ' ἐν καμίνῳ δροσιζόμενοι, εὐχαρίστως ἔψαλ-

λον, εὐλογεῖτε τὰ ἔργα κυρίου τὸν κύριον.

Ὡραιόψυχοι παῖδες, ἐν τῇ καμίνῳ βληθέντες, κράτος ἔρραν αἰώνιον, Θεὸν ὁμολογοῦντες τὸν οὐράνιον, καὶ τυράννου ἥττωντο δόγμα, προτείναντες μελῳδίαν. εὐλογεῖτε πᾶσα πνοὴ, καὶ κτίσις τὸν ἐπὶ πάντων Βασιλέα, εἰς πάντας τοὺς αἰῶνας.

Ἀδιαίρετοι τῆς Τριάδος παῖδες γεγόνασι, τὸ κάλλος τῆς εἰκόνος μὴ προσιέμενοι, ψυχώλεθρον ἀπάτην ἀποκρουσάμενοι, οὐρανόθεν δροσισθέντες ἐβόων Χριστῷ τὸν ὕμνον, εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

Ἐδρόσισεν ὁ Ἄγγελος τὴν κάμινον τῶν παίδων, ἐκύλισε τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου, καὶ γυναιξὶ μυροφόροις εὐαγγελίζετο λέγων, ἀνέστη ὁ Κύριος, καθὼς προέφησεν ὑμῖν, σπεύσατε βοήσατε τοῖς θείοις μαθηταῖς αὐτοῦ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν, ὁ Βασιλεύων εἰς πάντας τοὺς αἰῶνας.

Κατ᾽ ἀρχὰς Κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ Οὐρανοί. αἰνυμνεῖ πᾶσα κτίσις, καὶ δοξολογεῖ, ἐνεργείας λόγῳ εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν, ὑπερυψοῦμεν, ὑμνοῦμεν τὸ ὄνομά σου Χριστέ. σὺ γὰρ Βασιλεὺς, εἰς πάντας τοὺς αἰῶνας.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Παῖδες εὐλογεῖτε τὸν συγκαταβάντα θείᾳ βουλῇ· ἱερεῖς δοξολογεῖτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἄγγελοι ἀπαύστως αἰνυμνοῦσιν, αὐτοὶ ἀεὶ δοξολογοῦσι. καὶ πᾶσα κτίσις εὐλογείτω τὸν κύριον.

## ΩΔΗ Θ'. ΗΧΟΣ. Β'.

Ἀνάρχου γεννήτορος, υἱὸς Θεὸς καὶ κύριος, σαρκωθεὶς ἐκ παρθένου ἡμῖν ἐπέφανε· τὰ ἐσκοτισμένα φωτίσαι, συναγαγεῖν τὰ ἐσκορπισμένα. διὸ τὴν πανύμνητον Θεοτόκον μεγαλύνομεν.

Τῶν ἁγίων.

Ἀπορεῖ πᾶσα γλῶσσα, εὐφημεῖν πρὸς ἀξίαν, ἰλιγγιᾷ δὲ νοῦς, καὶ ὑπερκόσμιος ὑμνεῖν σε Θεοτόκε· ὅμως ἀγαθὴ ὑπάρχουσα τὴν πίστιν δέχου. καὶ γὰρ τὸν πόθον οἶδας τὸν ἔνθεον ἡμῶν. σὺ γὰρ Χριστιανῶν εἶ προστάτις, σὲ μεγαλύνομεν.

Ὢ τῶν ὑπὲρ νοῦν τοῦ τόκου σου θαυμάτων,
Νύμφη πάναγνε, μῆτερ εὐλογημένη.
Δι' ἧς τυχόντες παντελοῦς σωτηρίας,
Ἐπάξιον κροτοῦμεν ὡς εὐεργέτῃ,
Δῶρον φέροντες, ὕμνον εὐχαριστείας.

Τῆς Ὀκτωήχου.

Ὅλος ὑπάρχεις ἔφεσις, ὅλος γλυκασμὸς λόγε Θεοῦ, παρθένου υἱὲ, Θεὲ θεῶν, Κύριε ἁγίων ὑπεράγιε,

διό σε ἅπαντες, σὺν τῇ τεκούσῃ μεγαλύνομεν.

Τῶν γηγενῶν τίς ἤκουσε τοιοῦτον; ἢ τίς ἑώρακε ποτὲ, ὅτι παρθένος εὑρέθη ἐν γαστρὶ ἔχουσα, καὶ ἀνωδύνως τὸ βρέφος ἀποτεκοῦσα; τοιοῦτόν σου τὸ θαῦμα, καὶ σὲ ἁγνὴ Θεοτόκε μεγαλύνομεν.

Τὴν ὑπερφυῶς σαρκὶ, συλλαβοῦσαν ἐν γαστρὶ, τὸν ἐκ Πατρὸς ἀχρόνως προεκλάμψαντα λόγον, ἐν ὕμνοις ἀσιγήτοις μεγαλύνομεν πιστοί.

Ἡ τὸν πρὸ ἡλίου φωστῆρα τὸν Θεὸν ἐξανατείλαντα, σωματικῶς ἡμῖν ἐπιδημήσαντα, ἐκ λαγόνων παρθενικῶν ἀφράστως σωματώσασα. εὐλογημένη πάναγνε, σὲ Θεοτόκε μεγαλύνομεν.

Τὸν ἐκ Θεοῦ θεὸν λόγον, τὸν ἀρρήτῳ σοφίᾳ, ἥκοντα καινουργῆσαι τὸν Ἀδάμ. βρώσει φθορᾶς πεπτωκότα δεινῶς, ἐξ ἁγίας παρθένου, ἀφράστως σαρκωθέντα δι' ἡμᾶς, οἱ πιστοὶ ὁμοφρόνως ἐν ὕμνοις μεγαλύνομεν.

Ἐμεγαλύνθη τῶν πιστῶν λαῶν ἡ Ἐκκλησία, ὅτι ὁ κτίστης τῶν ἁπάντων ἐν αὐτῇ κατοικῶν, καινοποιεῖ πρὸς ζωήν.

Τί τὸ περὶ σὲ μέγα καὶ σεβάσμιον μυστήριον, ἡ τοῦ Ἀδὰμ θυγάτηρ, καὶ τοῦ ὑψίστου μήτηρ, ἡ μόνη πρὸς Θεὸν ἀπλανὴς τῶν πιστῶν γέφυρα, σὲ ἀσιγήτοις ὕμνοις, οἱ πιστοὶ ὦ Θεοτόκε μεγαλύνομεν.

Ἐμεγάλυνας Χριστὲ τὴν τεκοῦσαν Θεοτόκον. ἀφ' ἧς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ πλάστης ἡμῶν, ὁμοιοπαθὲς ἡμῖν περιέθου σῶμα, τὸ τῶν ἡμετέρων λυτήριον ἀμπλακημάτων· ταύτην μακαρίζοντες, πᾶσαι γενεαὶ σὲ μεγαλύνομεν.

Ψυχαῖς καθαραῖς, καὶ ἀρρυπώτοις χείλεσι, δεῦτε μεγαλύνωμεν τὴν ἀκηλίδωτον, καὶ ὑπέραγνον μητέρα τοῦ Ἐμμανουήλ, δι' αὐτῆς τῷ ἐξ αὐτῆς προσφέροντες πρεσβείαν τεχθέντι. φεῖσαι τῶν ψυχῶν ἡμῶν Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

Ἡ τὸν ἀχώρητον Θεὸν ἐν γαστρὶ χωρήσασα, καὶ χαρὰν τῷ κόσμῳ κυήσασα, σὲ ὑμνοῦμεν Θεοτόκε παρθένε.

Ἡ τὸν πρὸ ἡλίου φωστῆρα, τὸν Θεὸν ἐξανατείλαντα, σωματικῶς ἡμῖν ἐπιδημήσαντα, ἐκ λαγόνων παρθενικῶν ἀφράστως σωματούμενον, εὐλογημένη πάναγνε, σὲ Θεοτόκε μεγαλύνομεν.

Ἐποίησε μετὰ σοῦ μεγαλεῖα ἄχραντε, ὁ τῶν ἁπάντων ποιητὴς τεχθεὶς ἐκ σοῦ, καὶ πάλιν σώαν ἀνέδειξε τὴν σὴν γαστέρα πανύμνητε, διὸ ἀπαύστως σὲ Θεοτόκε, βροτῶν τὸ γένος μεγαλύνομεν.

Ὑπὲρ πᾶσαν ἔννοιαν, λόγῳ τὸν λόγον τοῦ πατρὸς, παρθενομῆτορ ἄχραντε συλλαβοῦσα, ἀφράστῳ τρόπῳ, διπλοῦν αὐτὸν τέτοκας, Θεὸς καὶ ἄνθρωπος γὰρ ὑπάρχει ὁ σαρκωθείς, διό σε πάντες μεγαλύνομεν.

Τὴν ἁγνὴν καὶ ἄχραντον μητέρα καὶ παρθένον, ᾠδαῖς ἀσμάτων ἅπαντες οἱ πιστοὶ, εὐσεβῶς ὡς Θεοτόκον μεγαλύνομεν.

Ἡ ἐν οὐρανοῖς εὐλογημένη, καὶ ἐπὶ γῆς δοξολογουμένη, Χαῖρε νύμφη ἀνύμφευτε.

Τὴν παρθενίαν σου Θεοτόκε ἀμίαντε, ἣν οὐ κατέφλεξε τὸ πῦρ τῆς θεότητος, μεγαλύνομεν.

Μεγαλύνομεν πάντες, τῶν ἀθλοφόρων τὴν μνήμην, τῶν δι' ὕδατος καὶ πυρὸς διελθόντων, καὶ Χριστῷ πρεσβευόντων, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Παράδοξον ἄκουσμα, καὶ μυστήριον ξένον, ἐν σοὶ ἀπετελέσθη, πανάχραντε Θεοτόκε, σύλληψις ἄνευ σπορᾶς, καὶ παρθενία [illegible] γέννησιν. ἀλλ' ὡς Δέσποινα παντάνασσα, σῶζε ὡς ἀγαθὴ ἡμᾶς τοὺς πίστει ἀδιστάκτῳ προσκυνοῦντας τὸν τόκον σου, καὶ μεγαλύνοντας.

Σὲ τὴν νοητὴν, καὶ ἔμψυχον κλίμακα, ἣν ὁ Θεὸς ἡμῶν ἐπεστήρικτο, δι' ἧς τὴν πρὸς Οὐρανὸν εὑρήκαμεν ἄνοδον, ὕμνοις Θεοτόκε μεγαλύνομεν.

Χαίροις παντάνασσα τῶν γηγενῶν τὸ καύχημα, ἡ ἐπ' ἐσχάτων ἡμερῶν τὴν σωτηρίαν ἡμῶν κυήσασα, ἵνα τῆς ἀρχαίας κατάρας τὸν ἀνθρώ-

πων τὸ γένος ἐλευθερώσῃς. διὸ πάντες ἀσιγήτως σὲ μεγαλύνομεν.

Ἀγλαόμορφε κόρη, ἠγλαϊσμένη, πανευλόγητε βασίλισσα, χρυσῷ καθαρῷ κεκοσμημένη, ἡ τεκοῦσα τὸν παντάνακτα Θεὸν ἡμῶν, ἡ γέφυρα τῶν πιστῶν, καὶ προστάτις, σὲ μεγαλύνομεν.

Ἡ μήτηρ σου ἁγνή, Θεόπαι παρθένε, οὐράνιον ὄμβρον τῷ κόσμῳ ἔσταξε, ζωὴν ἐπανατέλλοντα αἰώνιον, καὶ τὸν Ἀδὰμ σὺν τῇ Εὔα, εἰς νομὴν Παραδείσου εἰσῴκησεν. διὸ σὲ μόνην ἐν γυναιξὶ, μητέρα χρηματίσασαν τοῦ Ἐμμανουὴλ, πᾶσαι αἱ γενεαὶ μεγαλύνομεν.

Μεγαλύνομέν σε τὸν τόκον κόρη ἀμίαντε, οἱ διὰ σοῦ τῷ Θεῷ ἑνωθέντες, καὶ βοῶμέν σοι Μαρία θεόνυμφε. Χαῖρε πάντων ἡ ἀνάκλησις, τῶν ἐξ ἀρχαίας κατάρας θανατωθέντων, διὰ τῆς σῆς ἀγεωργήτου κυοφορίας.

Ἡ ἀμνὰς ἡ ἄσπιλος, ἡ Μήτηρ καὶ παρθένος, παριστάμενη τῷ σταυρῷ, τοῦ ἀμνοῦ καὶ λυτρωτοῦ, σὺν δάκρυσι θρηνῳδοῦσα ἐβόα. οἴμοι γλυκύτατε υἱέ μου. τοιαῦτά μοι τῆς χαρᾶς τὰ εὐαγγέλια, ὁ τόκος ὁ ἀπόρρητος, τῶν μάγων ἡ προσκύνησις, τῶν ποιμένων τὸ θαῦμα. οἴμοι τέκνον ἀναρτώμενον ἐπὶ σταυροῦ, ἀνάστηθι καθὼς εἶπας τριήμερος, ἵνα δοξασθήσωμαι ἐν τῇ ἀναστάσει.

Μεγαλυνόμεν σε τὴν φωτοφόρον νεφέλην, καὶ νοε-
ρὰν κιβωτόν· σὺ γὰρ ὑπὲρ λόγον ἐκύησας Χρι-
στὸν, τὸν σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Θαῦμα παράδοξον, καὶ μυστήριον ξένον, ἡ σύλληψις
ὑπερφυής, ὁ τόκος ἀνερμήνευτος, Ἀγγέλων τὰ
στρατεύματα, καὶ τῶν βροτῶν τὰ πλήθη, ἐν ᾠδαῖς
ἀκαταπαύστοις μεγαλυνόμεν.

# ΑΡΧΗ ΤΩΝ ΕΙΡΜΩΝ
## Τοῦ Τρίτου Ἤχου.

### ᾨΔΗ Α΄. ΗΧΟΣ Γ΄.

ΟΤὰ ὕδατα πάλαι νεύματι θείῳ, εἰς μίαν Συναγωγὴν συναθροίσας, καὶ τεμὼν θάλασσαν Ἰσραηλίτῃ λαῷ· οὗτος ὁ Θεὸς ἡμῶν, δεδοξασμένος ὑπάρχει. αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται. Τῆς ὑπαπαντῆς.

Χέρσον ἀβυσσοτόκον, πέδον ἥλιος ἐπεπόλευσέ ποτέ. ὡσεὶ τεῖχος γὰρ ἐπάγη, ἑκατέρωθεν ὕδωρ, λαῷ πεζοποντοποροῦντι, καὶ θεαρέστως μέλποντι. ᾄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται

Χερσώσας θάλασσαν ῥάβδῳ, διὰ Μωσέως ἐρυθρᾶς, χερσὶ πρεσβύτου σήμερον ἀγκαλίζεται Θεὸς, ὁ ἀμήτωρ ἐκ Πατρὸς, ἐπ᾿ ἐσχάτων δὲ ἑκὼν μητρὸς βαστάζεται.

Τῆς Ὀκτωήχου.

Φαραὼ τὰ ἅρματα, βυθῷ καλύψας Κύριε, τὴν θάλασ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λασσαν διέῤῥηξας, καὶ ἔσωσας, ᾄσμασιν ὑμνοῦν-
τας τὸν λαὸν Ἰσραηλίτην.

Θαυμαστῶς ἐνδόξως ποιῶν τέρατα, σὺ εἶ ὁ Θεὸς, ὁ
ἄβυσσον γεώσας, καὶ ἅρματα καλύψας, τὸν λαὸν
διασώσας. ᾄδοντά σοι ὡς Βασιλεῖ, καὶ Θεῷ.

Τῷ ῥυσαμένῳ τὸν Ἰσραὴλ ἐκ δουλείας, καὶ Φαραὼ
βυθίσαντι ἐν τῇ θαλάσσῃ. ᾄσωμεν τῷ Σωτῆρι
Χριστῷ, ὅτι δεδόξασται εἰς τοὺς αἰῶνας.

Ἄσωμεν τῷ Κυρίῳ, τῷ ποιήσαντι θαυμαστὰ τέ-
ρατα ἐν ἐρυθρᾷ θαλάσσῃ. πόντῳ γὰρ ἐκάλυ-
ψε τοὺς ὑπεναντίους, καὶ ἔσωσε τὸν Ἰσραήλ. αὐ-
τῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Τεμνομένην θάλασσαν, ῥάβδῳ πάλαι ὁ Ἰσραὴλ,
διῆλθεν ὡς ἐν ἐρήμῳ, καὶ σαυροτύπως ἐμφανῶς,
προοδοποιεῖ τρίβους. διὰ τοῦτο ᾄσωμεν ἐν αἰνέ-
σει, τῷ θαυμαστῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Τῷ διασώσαντι Θεῷ ἐν θαλάσσῃ λαὸν, βυθί-
σαντι δὲ τοὺς ὑπεναντίους, αὐτῷ μόνῳ ᾄσωμεν,
ὅτι δεδόξασται.

Ἄσμα καινὸν ᾄσωμεν λαοὶ, τῷ ἐκ Παρθένου τεχ-
θέντι εἰς σωτηρίαν ἡμῶν, καὶ ἑνοποιήσαντι τοῖς
ἐπ' οὐρανίοις τὰ ἐπίγεια, ὅτι δεδόξασται.

Τῷ διασώσαντι ἐν θαλάσσῃ λαὸν, καὶ βυθίσαν-
τι τοὺς ὑπεναντίους, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι
δεδόξασται.

ΩΔΗ.

## Ὠδὴ Β'. Ἦχος Γ'.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι, ὁ σωτὴρ τοῦ κόσμου, τὸ φῶς τὸ ἀληθινὸν, ἡ πηγὴ τῆς ζωῆς, ὁ υἱὸς τοῦ Θεοῦ.

Πρόσεχε γῆ καὶ οὐρανὲ, καὶ ἐνωτίζου τὰ ῥήματά μου, λαλήσω γὰρ ἐν τῇ γῇ, Θεοῦ θαυμάσια.

## Ὠδὴ Γ'. Ἦχος Γ'.

Ὁ ἐκ μὴ ὄντων τὰ πάντα παραγαγὼν, τῷ λόγῳ κτιζόμενα, τελειούμενα πνεύματι, παντοκράτωρ Δέσποτα, ἐν τῇ ἀγάπῃ τῇ σῇ στερέωσόν με.

Τῆς ὑπαπαντῆς.

Τὸ στερέωμα τῶν ἐπὶ σοὶ πεποιθότων, στερέωσον Κύριε τὴν Ἐκκλησίαν, ἣν ἐκτήσω τῷ τιμίῳ σου αἵματι.

Τῆς Ὀκτωήχου.

Στερεώθητι ψυχὴ, ἐν Κυρίῳ τῷ Θεῷ, καὶ βόα καυχωμένη, οὐκ ἔστιν ἅγιος πλὴν σοῦ Κύριε.

Στεῖρα ψυχὴ καὶ ἄγονε, κτῆσαι καρπὸν εὐκλεῆ, εὐφραινομένη βόησον, ἐστερεώθη διὰ σοῦ ὁ Θεός. οὐκ ἔστιν ἅγιος, οὐκ ἔστι δίκαιος, πλὴν σοῦ Κύριε.

Στερέωσον Κύριε τὰς καρδίας ἡμῶν, καὶ φώτισον εἰς τὴν σὴν ὑμνῳδίαν, τοῦ δοξάζειν σε Σωτὴρ εἰς αἰῶνα αἰῶνος.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ὅτι οὐκ ἔστιν ἅγιος πλὴν σοῦ Κύριε.
Τόξον ἔθραυσας ἐχθροῦ, καὶ θυρεοὺς συνέτριψας ἐν ἰσχύϊ Δέσποτα Χριστὲ, τὸ στερέωμα ἡμῶν, ἅγιος εἶ Κύριε.
Στηριγμὸν, καὶ ἱλασμὸν παράσχου ἡμῖν υἱὲ τοῦ Θεοῦ, καὶ σῶσον ἡμᾶς ὡς φιλάνθρωπος.

## ὨΔΗ' Δ'. ἮΧΟΣ Γ'.

Ἦθου πρὸς ἡμᾶς κραταιὰν ἀγάπησιν Κύριε. τὸν μονογενῆ γάρ σου υἱὸν ὑπὲρ ἡμῶν εἰς θάνατον δέδωκας. διό σοι κραυγάζομεν εὐχαριστοῦντες, δόξα τῇ δυνάμει σου Κύριε.

Τῆς ὑπαπαντῆς.

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου Χριστὲ, τῆς κιβωτοῦ γὰρ προελθὼν τοῦ ἁγιάσματός σου, τῆς ἀφθόρου μητρὸς, ἐν τῷ ναῷ τῆς δόξης σου, ὤφθης ὡς βρέφος ἀγκαλοφορούμενος, καὶ ἐπληρώθη τὰ πάντα τῆς σῆς αἰνέσεως.
Ὄρος κατάσκιον ἐδείχθη ἡ μήτρα τῆς Παρθένου στάμνος καὶ τράπεζα ὑπάρχει ἡ μήτηρ τοῦ Κυρίου. ἐξ αὐτῆς γὰρ προῆλθεν ἐμφανῶς, καὶ Συμεὼν ἀγκάλαις ὑπεδέξατο. Δόξα τῇ δυνάμει σου Κύριε.

Τῆς Ὀκτωήχου.

Μὴ ἐν ποταμοῖς ὠργίσθης κύριε, μὴ ἐν ποταμοῖς ὁ θυμός σου, ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου.

Τὸ ξένον καὶ ἀπόρρητον τοῦ τόκου σου μυστήριον, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, καὶ γεγηθὼς κραυγάζω σοι τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Τὸ κατάσκιον ὄρος ὃ Ἀββακοὺμ προεώρα, τῆς ἀχράντου σου μήτρας ἁγνή, διὸ αἰνεκραύγαζεν ἀπὸ θαιμὰν ἥξει ὁ Θεός, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέως.

Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην, τὰ ἔργα σου κατενόησα, καὶ ἐξέστην, ὅτι Θεὸς πρὸ αἰώνων ὑπάρχων, ἐκ παρθένου ἐτέχθης γενόμενος ἄνθρωπος.

Τί ἐξέστης Ἀββακούμ, τίνι κράζεις, καὶ βοᾷς, ἀπὸ θαιμὰν ἥξει ὁ Θεός. ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα ἐν αἰνέσει τοῦ θαυμαστοῦ Θεοῦ ἡμῶν, ὅτι δεδόξασται.

## ὨΔΗ. Ε. ἮΧΟΣ. Γ.

Πρὸς σὲ ὀρθρίζω, τὸν τοῦ παντὸς δημιουργόν, τὴν ὑπερέχουσαν πάντα νοῦν εἰρήνην. διότι φῶς τὰ προστάγματά σου, ἐν οἷς με καθοδήγησον.

Τῆς ὑπαπαντῆς.

Ὡς εἶδεν Ἠσαΐας συμβολικῶς, ἐν θρόνῳ ἐπηρμέ-

νῳ Θεὸν, ὑπ' Ἀγγέλων δόξης δορυφορούμενον. ὢ τάλας ἐβόα ἐγὼ, πρὸ γὰρ εἶδον σωματούμενον Θεὸν, φωτὸς ἀνέσπερου, καὶ εἰρήνης διαπόζοντα.

Τὸν ἐν σκότει ὑμνοῦντα, διανάστησον εὐεργέτα, καὶ τῆς ψυχῆς μου τὴν ἀχλὺν φωταγώγησον, τῷ φωτὶ τοῦ προσώπου σου φιλάνε, καὶ τὴν σὴν εἰρήνην παράσχου μοι, ὡς ποτὲ τῷ πρεσβύτῃ ἀναλλοίωτε.

Τῆς Ὀκτωήχου.

Τὸ φῶς σου τὸ ἀνέσπερον Χριστὲ, καταύγασον ὁ Θεὸς τῇ ταπεινῇ μου ψυχῇ, καὶ ὁδήγησον εἰς τὸν φόβον σου, διότι φῶς τὰ προστάγματά σου.

Ἐπὶ τῆς γῆς ὁ ἀόρατος ὤφθης, καὶ τοῖς βροτοῖς ἑκὼν συνανεστράφης ὁ ἀκατάληπτος, καὶ πρὸς σὲ ὀρθρίζοντες, ἀνυμνοῦμέν σε φιλάνθρωπε.

Ὀρθρίζοντες ἀνυμνοῦμεν σε λόγε υἱὲ Θεοῦ μονογενὲς, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ἀνυμνοῦντας σε, καὶ πιστῶς προσκυνοῦντας.

Τὴν σὴν εἰρήνην δὸς ἡμῖν υἱὲ τοῦ Θεοῦ. ἐκτός σου γὰρ ἄλλον Θεὸν οὐ γινώσκομεν, τὸν ἐν ὑψίστοις σὺν Πατρὶ καὶ Πνεύματι δοξολογούμενον.

Πρὸς σὲ ὀρθρίζω, τὸν ἐκ Πατρὸς ἑωσφόρου ἐκλάμψαντα τῷ κόσμῳ ὄρθρον, ἐσκοτισμένον τοῖς πλημμελήμασι, σωτὴρ προφθάσας καταύγασον ὁ Θεός.

Τῆς ψυχῆς μου τὴν ἀχλὺν διασκεδάσας ἐν τῷ φωτί-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σου Χέ, δέξαι με μόνε εὔσπλαγχνε, ἐκ νυκτὸς σοι κραυγάζω. καταύγασόν μου τὴν διάνοιαν.

## ᾨΔΗ. ς΄. ἮΧΟΣ. Γ΄.

Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν ἐκύκλωσέ με, καὶ ἐκλείπει τὸ πνεῦμά μου· ἀλλ' ἐκτείνας δέσποτα σὸν ὑψηλὸν βραχίονα, ὡς τὸν Πέτρον με Κυβερνῆτα διάσωσον.

Τῆς ὑπαπαντῆς.

Ἐβόησέ σοι, ἰδὼν ὁ Πρέσβυς, τοῖς ὀφθαλμοῖς τὸ σωτήριον, ὃ λαοῖς ἐπέστη, ἐκ Θεοῦ Χριστὲ σὺ Θεός μου.

Βυθός μοι ἐπανέστη σωτὴρ ἁμαρτημάτων, καὶ ζάλη ἀπογνώσεως, ὅθεν πιστῶς βοῶσοι· ὡς ἐκ τοῦ κήτους Ἰωνᾶ, ἀνάγαγέ μου τὴν ζωὴν ἐκ φθορᾶς, ὁ δι' ἐμὲ νηπιάσας, καὶ ἐν ἀγκάλαις Συμεὼν, σήμερον τῷ ναῷ προσαχθείς.

Τῆς Ὀκτωήχου.

Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων καταντήσαντας φιλάνθρωπε, καὶ τρικυμίαις πειρασμῶν ἀπολέσθαι κινδυνεύοντας, βοῶντας μὴ παρίδῃς· σῶσον σωτὴρ ὡς ἔσωσας τοῦ θηρὸς τὸν Προφήτην.

Βυθός μοι τῶν παθῶν ἐπανέστη, καὶ ζάλη ἐναντίων ἀνέμων· ἀλλὰ προφθάσας με σὺ σῶσον Σω-

τὴρ, καὶ ῥῦσαι φθορᾶς, ὡς ἔσωσας τὰ θηρὸς τὸ Προφήτlω.

Ἀνάγαγε ἐκ φθορᾶς με Κύριε ὁ Θεός μυ, ὁ Ἰωνᾶς ἐβόα, κἀγὼ βοῶ σοι, ἐκ τῦ βυθῦ ῥῦσαί με Σωτὴρ, τῶν πολλῶν μυ κακῶν, καὶ πρὸς τὸ φῶς τὸ σὸν δέομαι καθοδήγησον.

Ἐκ κήτυς Ἰωνᾶς, τῆς ἐν κατωτάτω ᾅδου φύσεως σύμβολον, γεγονὼς ἐβόα· ἀνάγαγε ἐκ φθορᾶς τὸ ζωlὼ μυ φιλάνθρωπε.

Ἐβόησα ἐν ςεναγμοῖς ἀσιγήτοις, πρὸς τὸν οἰκτίρμονα Θεὸν, καὶ ἐπήκυσέ μυ ἐξ ᾅδυ κατωτάτυ, καὶ ἀνήγαγεν ἐκ φθορᾶς τlὼ ζωlὼ μυ.

## ὨΔῊ. Ζ. ἮΧΟΣ. Γ'.

Ὡς πάλαι τὰς εὐσεβεῖς, τρεῖς παῖδας ἐδρόσισας, ἐν τῇ φλογὶ τῇ Χαλδαϊκῇ, τῷ φωτιςικῷ τῆς θεότητος πυρὶ, καὶ ἡμᾶς καταύγασον, εὐλογητὸς εἶ κράζοντας, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τῆς ὑπαπαντῆς.

Σὲ τὸν ἐν πυρὶ δροσίσαντα, παῖδας θεολογίσαντας, καὶ Παρθένῳ ἀκηράτῳ ἐνοικήσαντα, Θεὸν λόγον ὑμνῦμεν, εὐσεβῶς μελῳδῦντες. εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Κάμινος καιομένη, ὐχ εὑρέθη δροσίζυσα, εἰμὴ ἡ

 Βαβυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Βαβυλώνιος. ἄνανδρος ἄλλη μήτηρ, καὶ παρθένος οὐκ ἐφάνη. ἡ μὲν παῖδας διεφύλαξεν ἀφλέκτους, αὕτη δὲ διέφερεν ἀγκάλαις. ὃν ἀνυμνοῦντες λέγομεν. εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Τῆς Ὀκτωήχου.

Τρεῖς παῖδες ἐν καμίνῳ, τὴν τριάδα τυπώσαντες, τοῦ πυρὸς τὴν ἀπειλὴν κατεπάτησαν, καὶ ὑμνοῦντες ἐβόων. εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Σοβαρὸς ὁ τύραννος, ἀλλὰ παίδων γέγονεν ἄθυρμα, ὥσπερ γὰρ χοῦν πατήσαντες, τὴν ἑπταπλάσιον φλόγα ἔψαλλον. εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὁ τὴν φλόγα δροσίσας τῆς καμίνου, καὶ τοὺς παῖδας ἀφλέκτους διασώσας, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Τῇ πρὶν εἰκόνι τῇ χρυσῇ, περσικῷ σεβάσματι παῖδες οὐ προσεκύνησαν τρεῖς, ὑμνοῦντες ἐν μέσῳ τῆς καμίνου ἔλεγον ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὡς χρυσὸς ἐν χωνευτηρίῳ, οἱ παῖδες ἐδοκιμάζοντο ἐν καμίνῳ, καὶ ἀνεδείχθησαν φαιδροί, οὐκ ἐν τῷ χωνεύεσθαι, ἀλλ᾽ ἐν τῷ φυλάττεσθαι. οὐκ ἐν τῷ φλογίζεσθαι, ἀλλ᾽ ἐν τῷ ψάλλειν ἀπαύστως. εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τὴν ἐν καμίνῳ φλόγα κατέσβεσαν οἱ παῖδες, καὶ ψ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὐράνιον δρόσον ἐδέξαντο τῇ πίστει, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

## ΩΔΗ. Η'. ΗΧΟΣ. Γ'.

Ἀσέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείᾳ προεστῶτες νεανίαι, τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τῆς ὑπαπαντῆς,

Ὡς ἡ κάμινος πάλαι, δεξαμένη παῖδας οὐκ ἔφλεξεν, οὕτω καὶ ἡ Παρθένος συλλαβοῦσα τὸν κτίστην, οὐκ ἐφλέχθη τὴν νηδύν. ὢ τοῦ θαύματος, ὁ ἀναλλοίωτος ὁρᾶται σαρκὶ, καὶ τῷ ναῷ προσάγεται. διὰ τοῦτο πίστει ὑμνοῦντες λέγομεν, εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Τῆς Ὀκτωήχου.

Τὸν ἐν φλογὶ τοῖς παισὶ τῶν Ἑβραίων, συγκαταβάντα θεϊκῇ δυναστείᾳ, καὶ ὀφθέντα κύριον, ἱερεῖς εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐν ὕλῃ φλόγα πυρὸς, δι' ἀΰλου κατεμάραναν, θεωρούμενοι παῖδες, καὶ ἔψαλλον. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὸν ὑπ' Ἀγγέλων ἀσιγήτως ἐν ὑψίστοις δοξαζόμενον Θεὸν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, γῆ καὶ ὄρη, καὶ

βουνοὶ, καὶ βυθὸς, καὶ πᾶν γένος ἀνθρώπων, ὕμνοις αὐτὸν ὡς κτίστην, καὶ λυτρωτὴν εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἡ βυλωνία κάμινος, τοὺς παῖδας οὐκ ἔφλεξεν, οὐδὲ τῆς θεότητος τὸ πῦρ τὴν Παρθένον διέφθειρε. διὸ μετὰ τῶν παίδων πιστοὶ βοήσωμεν. εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Λατρεύειν ζῶντι Θεῷ, οἱ ἐν Βαβυλῶνι παῖδες πρὸς καρτερήσαντες, Μουσικῶν Ὀργάνων κατεφρόνησαν, καὶ φλογὸς μέσον ἑστῶτες, θεοπρεπῆ ὕμνον ἀνέμελπον λέγοντες. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὸν προσκυνούμενον ὑπὸ ἁγίων Ἀγγέλων, καὶ δοξαζόμενον ἀπαύστως, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐπὶ θρόνου Χερουβὶμ ἐποχούμενον, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐξ ἀνάρχου τοῦ Πατρὸς γεννηθέντα πρὸ αἰώνων Θεὸν, καὶ ἐπ' ἐσχάτων ἐκ τῆς θεοτόκου σάρκα ἐνδυσάμενον, ὡς τέλειον ἄνθρωπον, καὶ Θεὸν ἀληθινὸν, ὑμνεῖτε εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν εὐεργέτην καὶ Θεὸν, καὶ λυτρωτὴν τοῦ παντὸς, καὶ ποιητὴν τοῦ σύμπαντος κόσμου, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΩΔΗ'

## ΩʼΔΗ. Θʹ. ΗʼΧΟΣ. Γʹ.

Καινὸν τὸ θαῦμα καὶ θεοπρεπὲς, τῆς παρθένου γὰρ τὴν κεκλεισμένην πύλην σαφῶς διοδεύει Κύριος, γυμνὸς τῇ εἰσόδῳ, καὶ σαρκοφόρος ὤφθη ἐν ἐξόδῳ Θεὸς, καὶ μένει ἡ πύλη κεκλεισμένη. ταύτην ἀφράστως, ὡς Θεομήτορα μεγαλύνομεν.

Τῆς ὑπαπαντῆς.

Ἐν νόμῳ σκιᾷ καὶ γράμματι, τύπον κατίδωμεν οἱ πιστοὶ, πᾶν ἄρσεν τὸ τὴν μήτραν διανοῖγον, ἅγιον Θεῷ. διὸ πρωτότοκον λόγον, Πατρὸς ἀνάρχου υἱὸν, πρωτοτοκούμενον μητρὶ, ἀπειράνδρως μεγαλύνομεν.

Ἄχραντε Θεοῦ Μήτηρ ἀνύμφευτε, δικαίως σὲ ὑμνοῦσι τὰ τάγματα τῶν Ἀγγέλων. καὶ ὁ πρεσβύτης Συμεὼν τὸν τόκον σου θεώμενος ἐκραύγαζε. νῦν ἀπολύεις τὸν δοῦλον δέσποτα κατὰ τὸ ῥῆμα τὸ σόν. ὅπως σώσῃς Χριστὲ τοὺς σὲ σοῦ τῇ τεκούσῃ μεγαλύνοντας.

Σὲ ζωγραφοῦσα ἡ Ἀσύριος φλὸξ, παρθενομήτορ Μαρία. τὸ πῦρ γὰρ τῆς θεότητος ἐν μήτρᾳ σου οἰκῆσαν ἁγνὴ, ἄφλεκτον ἐτήρησε τὴν παναχραντον νηδύν σου. ὅθεν καὶ Χριστὸς ὑπὸ σοῦ, ἐν ναῷ ἁγίῳ ἀγκάλαις προσαχθεὶς, ἡμᾶς ἀνεκαίνισε, μεγαλύνοντας τὸν τόκον σου.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐν σιναίῳ τῷ ὄρει κατεῖδέ σε, ἐν τῇ βάτῳ Μωϋσῆς, τὴν ἀφλέκτως τὸ πῦρ τῆς θεότητος, συλλαβοῦσαν ἐν γαστρὶ, Δανιὴλ δὲ σὲ εἶδεν, ὄρος ἀλατόμητον, ῥάβδον βλαστήσασαν, Ἡσαΐας κέκραγε τὴν ἐκ ῥίζης Δαβίδ.

Οἱ τὸ γλυκὺ τοῦ ἀχράντου σου τόκου, βέλει τρωθέντες ἁγνὴ, σοῦ τὸ ἀξιέραστον κάλλος θαυμάζοντες, ᾄσμασιν Ἀγγελικοῖς ἐπαξίως σε, ὡς Μητέρα Θεοῦ μεγαλύνομεν.

Τὴν ἐν τῇ βάτῳ, καὶ πυρὶ προγραφεῖσαν ἐν σινᾷ τῷ νομοθέτῃ Μωσῇ, καὶ τὸ θεῖον ἐν γαστρὶ ἀφλέκτως συλλαβοῦσαν πῦρ, τὴν ὁλόφωτον καὶ ἄσβεστον λαμπάδα, τὴν ὄντως θεοτόκον, ὕμνοις τιμῶντες μεγαλύνομεν.

Σὲ τὴν ἀκατάφλεκτον βάτον, ἐξαγίαν παρθένον, τὴν μητέρα τοῦ φωτὸς καὶ θεοτόκον, τὴν ἐλπίδα πάντων ἡμῶν μεγαλύνομεν.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὁ ἐγείρας κέρας σωτηρίας ἡμῖν, ἐν οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ, διὰ σπλάγχνα ἐλέους, ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, καὶ κατεύθυνεν ἡμᾶς εἰς ὁδὸν εἰρήνης.

Τὸ ἀλατόμητον ὄρος, τὴν ἀκρότομον πέτραν, τὴν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐθεάσατο Δανιὴλ ὁ Προφήτης, τὴν Θεοτόκον Μαρίαν ὕμνοις μεγαλύνομεν.

Σὲ τὴν ἀπειρόγαμον Θεοτόκον, ἐν τῇ μνήμῃ τῶν ἁγίων μεγαλύνομεν, ὡς τεκοῦσαν τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Σὲ τὴν ἀθάνατον πηγὴν, τὴν ἐξ ἁγίων ἰάματα, τῶν ἀνθρώπων τῷ γένει παρέχουσαν, ἀεὶ μεγαλύνομεν, ὅτι σώζεις τὰς ψυχὰς ἡμῶν.

Κεχαριτωμένη χαῖρε, ὁ Κύριος μετὰ σοῦ, εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ σὲ μεγαλύνομεν.

Τὴν Μητέρα τοῦ φωτὸς, καὶ μετὰ τόκον παρθένον, καὶ τῶν ψυχῶν ἡμῶν σωτηρίας λιμένα, οἱ πιστοὶ ὁμοφρόνως ἐν ὕμνοις μεγαλύνομεν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ἈΡΧῊ ΤΩ͂Ν ΕἹΡΜΩ͂Ν
## Τοῦ Τετάρτου Ἤχου.

### ὨΔῊ Α΄. ἮΧΟΣ Δ΄.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν, ὁ παλαιὸς πεζεύσας Ἰσραὴλ, σταυροτύποις Μωσέως χερσὶ, τοῦ Ἀμαλὴκ τὴν δύναμιν, ἐν τῇ ἐρήμῳ ἐτροπώσατο.

Τοῦ Εὐαγγελισμοῦ.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ βασιλίδι μητρὶ, καὶ ὀφθήσομαι φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος ταύτης τὰ θαύματα.

Τῶν Βαΐων.

Ὤφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου νοτίδος ἄμοιροι, καὶ ἀνεκαλύφθη θα[illegible]σσης κυμαινούσης τὰ θεμέλια, τῇ κ[illegible]γίδι [illegible]ματι. ταύτην γὰρ ἐπετίμησας, τ[illegible]ιον λαὸν δὲ ἔσωσας, ᾄδοντα ἐπινίκιον [illegible] σοι Κύριε.

### Τῆς Πεντηκοστῆς.

Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ,
Ἐρρητόρευσε τὸν Θεόγραφον νόμον.
Ἰλὺν γὰρ ἐκτινάξας ὄμματος νόου,
Ὁρᾷ τὸν ὄντα, καὶ μυεῖται πνεύματος
Γνῶσιν, γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν.

### Τῆς Ὀκτωήχου.

Τριστάτας κραταιούς, ὁ τεχθεὶς ἐκ Παρθένου, ἀπαθείας ἐν βυθῷ, ψυχῆς τὸ τριμερὲς καταπόντισον δέομαι· ὅπως σοι ὡς ἐν τυμπάνῳ, τῇ νεκρώσει τοῦ σώματος, ἐπινίκιον ᾄσω μελῴδημα.

Ὁ πατάξας Αἴγυπτον, καὶ Φαραὼ τὸν τύραννον βυθίσας ἐν θαλάσσῃ, λαὸν ἔσωσας δουλείας, Μωσαϊκῶς ᾄδοντα, ᾠδὴν ἐπινίκιον ὅτι δεδόξασαι.

Ἄσωμεν τῷ Κυρίῳ, τῷ παραδόξως βυθίσαντι τὸν Φαραὼ ἐν θαλάσσῃ, ᾠδὴν ἐπινίκιον ὅτι δεδόξασαι.

Ἄσομαί σοι Κύριε ὁ Θεός μου, ὅτι ἐξήγαγες λαὸν δουλείας Αἰγυπτίων, ἐκάλυψας δὲ ἅρματα Φαραὼ καὶ τὴν δύναμιν.

Οὐκ ἔστι σοι ὅμοιος δεδοξασμένε Κύριε, ἐν χειρὶ γὰρ κραταιᾷ, ἐλυτρώσω τὸν λαόν, ὃν ἐκτήσω φιλάνθρωπε.

Ἄσωμεν ᾆσμα καινόν, τῷ Βασιλεῖ τῶν αἰώνων, ὅτι δεδόξασαι.

Ἄσω-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

# ΑΡΧΗ ΤΩΝ ΕΙΡΜΩΝ
## Τοῦ Τετάρτου Ἤχȣ.

### ΩΔΗ Α΄. ΗΧΟΣ Δ΄.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν, ὁ παλαιὸς πεζεύσας Ἰσραὴλ, σαυροτύποις Μωσέως χερσὶ, τȣ̃ Ἀμαλὴκ τὴν δύναμιν, ἐν τῇ ἐρήμῳ ἐξοπώσατο.

Τȣ̃ Εὐαγγελισμȣ̃.

Ἀνοίξω τὸ σόμαμȣ, ϗ πληρωθήσεται πνεύματος, ϗ λόγον ἐρεύξομαι τῇ βασιλίδι μητρὶ, ϗ ὀφθήσομαι φαιδρῶς πανηγυρίζων, ϗ ᾄσω γηθόμενος ταύτης τὰ θαύματα.

Τῶν Βαΐων.

Ὤφθησαν αἱ πηγαὶ τῆς ἀβύσσȣ νοτίδος ἄμοιροι, ϗ ἀνεκαλύφθη θ[illegible]σσης κυμαινȣ́σης τὰ θεμέλια, τῇ κα[illegible]γίδι [illegible]εύματι. ταύτην γὰρ ἐπετίμησας, [illegible]κτον λαὸν δὲ ἔσωσας, ᾄδοντα ἐπινίκιον [illegible]σοι Κύριε.

Τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Τῆς Πεντηκοστῆς.

Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ,
Ἐρητόρευσε τὸν Θεόγραφον νόμον.
Ἰλὺν γὰρ ἐκτινάξας ὄμματος νόος,
Ὁρᾶ τὸν ὄντα, καὶ μυεῖται πνεύματος
Γνῶσιν, γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν.

Τῆς Ὀκτωήχου.

Τριστάτας κραταιοὺς, ὁ τεχθεὶς ἐκ Παρθένου, ἀπαθείας ἐν βυθῷ, ψυχῆς τὸ τριμερὲς καταπόντισον δέομαι. ὅπως σοι ὡς ἐν τυμπάνῳ, τῇ νεκρώσει τοῦ σώματος, ἐπινίκιον ᾄσω μελῴδημα.

Ὁ πατάξας αἴγυπτον, καὶ Φαραὼ τὸν τύραννον βυθίσας ἐν θαλάσσῃ, λαὸν ἔσωσας δουλείας, Μωσαϊκῶς ᾄδοντα, ᾠδὴν ἐπινίκιον ὅτι δεδόξασαι.

Ἄσωμεν τῷ Κυρίῳ, τῷ παραδόξως βυθίσαντι τὸν Φαραὼ ἐν θαλάσσῃ, ᾠδὴν ἐπινίκιον ὅτι δεδόξασαι.

Ἄσωμαί σοι Κύριε ὁ Θεός μου, ὅτι ἐξήγαγες λαὸν δουλείας Αἰγυπτίων, ἐκάλυψας δὲ ἅρματα Φαραὼ καὶ τὴν δύναμιν.

Οὐκ ἔστι σοι ὅμοιος δεδοξασμένε Κύριε, ἐν χειρὶ γὰρ κραταιᾷ, ἐλύτρωσω τὸν λαὸν, ὃν ἐκτήσω φιλάνθρωπε.

Ἄσωμεν ᾆσμα καινὸν, τῷ Βασιλεῖ τῶν αἰώνων, ὅτι δεδόξασαι.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἄσωμεν λαοὶ τῷ θαυμαστῶς τερατουργήσαντι ἐν ἐρυθρᾷ θαλάσσῃ, Χριστῷ τῷ Θεῷ, ὅτι τὸν πάλαι Ἰσραὴλ πανοπλιθέντα ἴχνεσι, πεζοπορεῖν τὴν ἄβατον πεποίηκε, καὶ τὸν τῆς κακίας ἐργοδότην Φαραὼ ἐν βυθῷ κατεπόντισε.

Ὑπὸ νεφέλης φωτινῆς, καὶ στύλου πυρὸς καθοδηγούμενος, διελθὼν θάλασσαν διὰ ξηρᾶς, καὶ ταύτην πεζοπορῶν ὡς ἐν ἐρήμῳ, ὁ ἐκλεκτός σου Ἰσραὴλ Χριστὲ, ἐπινίκιον ὕμνον ἄδει σοι Κύριε.

Ἅρματα Φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν, ὁ κραταιὸς ἐν πολέμοις. ᾄσωμεν ᾆσμα καινὸν, ὅτι δεδόξασαι.

Ἄσωμεν ᾠδὴν ἐπινίκιον τῷ μόνῳ Θεῷ, τῷ ποιήσαντι παράδοξα. πάλαι γὰρ τὸν Φαραὼ, πανστρατιᾷ ἐν θαλάσσῃ ἐβύθισεν.

Ἔσχισας πέλαγος τὸ ἐρυθραῖον ὁ Θεὸς, τὸν Φαραὼ βυθίσας ἐν αὐτῷ, διαβιβάσας Μωϋσῆν ἀβρόχως ἐν ἐρήμῳ, καὶ ἐπομβρήσας τὸ μάννα, εἰς βρῶσιν τῷ λαῷ Ἰσραὴλ, ὡς δυνατός.

Τῷ ὁδηγήσαντι πάλαι τὸν Ἰσραὴλ, φεύγοντα ἐκ τῆς δουλείας τοῦ Φαραὼ, καὶ ἐν ἐρήμῳ θρέψαντι. ᾄσωμεν τῷ λυτρωτῇ ἡμῶν Θεῷ, ὅτι δεδόξασαι.

Ὁ παράδοξα ποιήσας τέρατα Κύριος, ἐν χειρὶ Μωσαϊκῇ, χερσὶ πρεσβύτου σήμερον ἀγκαλί-

ζεται ὡς βρέφος ἐν τῷ ναῷ, αὐτῷ πιςῶς ἐκβοήσωμεν λαοί. ᾠδὴν ἐπινίκιον, ἐνδόξως γὰρ δεδόξασαι.

Τῷ πρατουργήσαντι ὑψηλῷ βραχίονι Θεῷ, ἐν θαλάσσῃ ἐρυθρᾷ, τῇ Ἀγγελικῇ προοδοποιήσει, καὶ σώσαντι τὸν Ἰσραὴλ ἐν τῷ τέρματι ἀβύσσου, καὶ τῶν ἱππηλατῶν σου δήσαντι τοὺς ἄξονας, καὶ ἄρδην τούτους ὑποβρυχίσαντι, τὸν ἐπινίκιον ὕμνον ἄσωμεν αὐτῷ, ὅτι δεδόξασαι.

## ὨΔΗ͂ Β'. ἮΧΟΣ Δ'.

Δότε λαοί, μεγαλωσύνην Χριςῷ τῷ Θεῷ ἡμῶν, τῷ ἐκ παρθένου τεχθέντι εἰς σωτηρίαν τῶν βροτῶν.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι ὁ λόγος, ὁ ἐν τοῖς σπλάγχνοις τῆς μητρὸς ἀπεριγράπτως εἰσδύς, μὴ χωρισθεὶς τοῦ Πατρὸς, ὡς Θεὸς δὲ συμπληρῶν, σὺν τοῖς ἄνω τὰ κάτω, καὶ παρέχων τὸ μέγα ἔλεος.

## ὨΔΗ͂ Γ'. ἮΧΟΣ Δ'.

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριςὲ κράζουσα. σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ, καὶ ςερέωμα. Τοῦ Εὐαγγελισμοῦ.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ἡ ζῶσα καὶ ἄφθονος



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πηγὴ, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον, ἐπὶ τῇ θείᾳ δόξῃ σου, Στεφάνων δόξης ἀξίωσον.

### Τῶν Βαΐων.

Νάουσαν ἀκρότομον, προστάγματί σου, στερεὰν ἐθήλασε πέτραν Ἰσραηλίτης λαός. ἡ δὲ πέτρα σὺ Χριστὲ ὑπάρχεις, καὶ ζωή. ἐν ᾗ ἐστερεώθη ἡ Ἐκκλησία κράζουσα, ὡς ἀννὰ, εὐλογημένος εἶ ὁ ἐρχόμενος.

### Τῆς Πεντηκοστῆς.

Ἔρρηξε γαστρὸς ἠτεκνωμένης παῖδας,
Ὕβριν τε δυσκάθεκτον εὐτεκνουμένης,
Μόνη προσευχὴ τῆς Προφήτιδος πάλαι,
Ἄννης φερούσης πνεῦμα συντετριμμένον,
Πρὸς τὸν δυνάστην, καὶ Θεὸν τῶν γνώσεων.

### Τῆς Ὀκτωήχου.

Ἀφ' ὕψους κατῆλθες βουλήσει ἐπὶ γῆς, ὁ ὑπεραίρων πάσης ἀρχῆς, καὶ ταπεινὴν ἀνύψωσας ἐξ ᾅδου κατωτάτου φύσιν βροτείαν. οὐ γὰρ ἔστιν ἅγιος πλήν σου φιλάνθρωπε.

Ὁ στερεῶν βροντὴν, καὶ κτίζων πνεῦμα, στερέωσόν με Κύριε, ἵνα ὑμνῶ σε εἰλικρινῶς, καὶ ποιῶ τὸ θέλημά σου. οὐκ ἔστι γὰρ ἅγιος πλήν σου φιλάνθρωπε.

Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιε-

ζώ-

ζώσαντο δύναμιν. διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου.

Οὐκ ἐν σοφίᾳ, καὶ δυνάμει, καὶ πλούτῳ καυχώμεθα. ἀλλ᾽ ἐν σοὶ τῇ τοῦ Πατρὸς, ἐνυποστάτῳ σοφίᾳ Χριστὲ, οὐ γάρ ἐστιν ἅγιος πλὴν σοῦ φιλάνθρωπε.

Ἅγιος εἶ Κύριος ὁ Θεὸς ἡμῶν, στερέωσον καὶ ἡμῶν τὰς καρδίας, ἀπαύστως ἐκ βοῶν σοι, δίκαιος οὐκ ἔστι πλὴν σοῦ Κύριε.

Τὸ στερέωμα τῶν ἐπὶ σοὶ πεποιθότων, στερέωσον Κύριε, ἐν τῇ πίστει τῇ ὀρθοδόξῳ σου, καὶ στήριξον ἡμᾶς ὡς φιλάνθρωπος.

Ὅτι στεῖρα ἔτεκεν, ἡ ἐξ ἐθνῶν Ἐκκλησία, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε συναγωγὴ, τῷ θαυμαστῷ ἡμῶν Θεῷ βοήσωμεν, ἅγιος εἶ Κύριε.

Στήριγμα πιστῶν, καὶ καύχημα, καὶ ἀφθαρσίας πηγὴ, καὶ τῶν ἀγαθῶν αἰτιοδότα Χριστὲ, ἐν τῇ ἀγάπῃ τῇ σῇ στερέωσόν με.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, τῷ διδόντι ἰσχὺν τοῖς εὐχομένοις, ὅτι τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν.

Μὴ καυχάσθω ὁ σοφὸς καυχώμενος, ἀλλ᾽ ἢ ἐν τούτῳ ἐν τῷ συνιέναι, ὅτι οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, ὁ ὑψῶν τὸ κέρας ἡμῶν, διδοὺς ἰσχὺν τοῖς Βασιλεῦσιν ἡμῶν.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ὅτι οὐκ ἔστιν ἅγιος πλήν σου Κύριε.

Ὁ τὰς καρδίας ἐρευνῶν, καὶ τοὺς νεφροὺς ἐμβατεύων, πρὸς γνῶσιν θεότητος λόγε Θεοῦ ἀξεικῆ, πενομένων πλουτιστά, πιπτόντων ἀνόρθωσις, ἀποκοπείας παθῶν θᾶττον ἀνάστησον, στήριξον ἐν πνεύματι τῆς σῆς αἰνέσεως, καὶ βεβαιῶν ἐν τῇ πέτρᾳ με σῶτερ τῆς πίστεως.

Ἄννα ἡ πρὶν ἄγονος, καὶ στεῖρα ἐπαγγελίας ἔσχε καρπὸν τὸν Σαμουήλ, νῦν δὲ Προφῆτις Ἄννα, τῷ ναῷ ἐπιστᾶσα, ἀνθωμολογεῖτο τῷ δι' ἡμᾶς νηπιάσαντι Θεῷ, καὶ πρεσβυτικαῖς ἀγκάλαις εἰσδεχομένῳ.

Ὕψιστε σῶτερ τῶν δυνάμεων, τὴν σαλευομένην ψυχήν μου στερέωσον εἰς τὸ θέλημά σου· ἵνα κἀγὼ δοξάζω σου σὺν ἀσωμάτοις τὴν θείαν εὐπρέπειαν.

## ᾨΔΗ Δʹ. ἮΧΟΣ Δʹ.

Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία, ἐπὶ σταυροῦ τὸν ἥλιον τῆς δικαιοσύνης, ἔστη ἐν τῇ τάξει αὐτῆς, εἰκότως κραυγάζουσα, δόξα τῇ δυνάμει σου Κύριε.

Τοῦ Εὐαγγελισμοῦ.

Ὁ καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου θεότητος, ἐν νεφέλῃ κούφῃ ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκηρά-

τῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ παλάμῃ, καὶ διέσωσε, τοὺς κραυγάζοντας, δόξα Χριστὲ τῇ δυνάμει σου.

Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν, τὴν ἐκ τῆς παρθένου σαρκώσεως, σοῦ τοῦ ὑψίστου, ὁ Προφήτης Ἀββακοὺμ, κατανοῶν ἐκραύγαζε. δόξα τῇ δυνάμει σου Κύριε.

Τῶν Βαΐων.

Χριστὸς ὁ ἐρχόμενος, ἐμφανῶς Θεὸς ἡμῶν, ἥξει καὶ οὐ χρονιεῖ ἐξ ὄρους κατασκίου δασέως, κόρης τεκούσης ἀπειράνδρου, Προφήτης πάλαι φησὶ, διὸ πάντες βοῶμεν, δόξα τῇ δυνάμει σου Κύριε.

Τῆς Πεντηκοστῆς.

Ἄναξ ἀνάκτων, οἷος ἐξ οἵου μόνος,
Λόγος προελθὼν Πατρὸς ἐκ ἀναιτίου,
Ἰσοσθενές σου πνεῦμα τοῖς Ἀποστόλοις,
Νημερτὲς ἐξέπεμψας ὡς εὐεργέτης,
Ἄδουσι δόξα τῷ κράτει σου Κύριε.

Τῆς Ὀκτωήχου.

Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην Κύριε.

Δι' ἀγάπησιν οἰκτίρμων τῆς σῆς εἰκόνος, ἐπὶ σταυροῦ σου ἔστης, καὶ ἐτάκησαν ἔθνη, σὺ γὰρ εἶ φιλάνθρωπε ἰσχύς μου καὶ ὕμνησις.

Οὗτος ὁ Θεὸς ἡμῶν ὁ ἐκ Παρθένου σαρκωθεὶς, καὶ τὴν φύσιν θεώσας, ὃν ἀνυμνοῦντες βοῶμεν, δόξα τῇ δυνάμει σου Κύριε.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Εἰσακήκοα τὴν ἀκοήν σου Κύριε, ὅτι ὤφθης ἐπὶ τῆς γῆς, καὶ ἐδόξασά σου τὴν δύναμιν.

Μέγα καὶ θεοπρεπὲς Σωτὴρ εἰσακήκοα, ὅτι ἀθάνατος ὢν, καὶ Θεός, ὁμοιώθης τοῖς ἀνθρώποις, καὶ ἔμεινας ὃ ἦς, καὶ διὰ τοῦτό σου δοξάζω τὴν δύναμιν.

Εἰσακήκοα τὴν ἔνδοξόν σου οἰκονομίαν Χριστὲ ὁ Θεός, ὅτι ἐτέχθης ἐκ τῆς Παρθένου, ἵνα ἐκ πλάνης ῥύσῃ τοὺς κραυγάζοντας, δόξα τῇ δυνάμει σου Κύριε.

Ἀκοὴν ἀκηκοὼς φησὶν ὁ Ἀββακούμ, ὅτι ὁ Θεὸς ἐξ ὄρους ἐκ γαστρὸς Παρθενικῆς, προῆλθεν ἀφράστως, καὶ ἐκστὰς ἐκραύγαζε, δόξα τῇ δυνάμει σου Κύριε.

Ἐν μέσῳ δύο λῃστῶν, ἐγνώσθης ἐν τῷ σταυρῷ Χριστὲ ὁ Θεός, ἐπήρθη ὁ ἥλιος φόβῳ, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς, δόξα τῇ δυνάμει σου Κύριε.

Ἔκλινας Χριστὲ τῇ καταβάσει σου, οὐρανοὺς ἐν συνέσει, καὶ ὤφθης σεσαρκωμένος ἐπὶ γῆς, διὸ πάντες βοῶμεν, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Εἰσακήκοα τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας, ὅτι ἐκ Παρθένου ἐτέχθης τὴν τεκοῦσαν μὴ φλέξας, καὶ ἐδόξασα Σωτὴρ τὴν συγκατάβασίν σου.

Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθείσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθείσῃ, ἐν τῷ παραχθῆ-

ναι

ναι τὴν ψυχήν μου, ἐν ὀργῇ ἐλέους μνησθήσῃ Κύριε δόξα σοι.

Εἰσακήκοα ὁ Θεὸς τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην Κύριε, ὅτι τῆς σῆς αἰνέσεως πλήρης ἡ γῆ.

Ἤχῳ ἀλλάλῳ, προδιαγνοὺς Ἀββακοὺμ, ἑώρα τοῦ λόγου τὴν σάρκωσιν, καὶ κέκραγεν ἀναφανδὸν, ἀκοὴν ἀκήκοα θείας βουλήσεως, Θεὸς γὰρ ἀπρέπτως τοῖς βροτοῖς ὁμιλήσει, ἐξ ὄρους ἐρχόμενος, παρθενικῆς ἐκ γαστρὸς, καὶ κόσμον λυτρούμενος, τῆς ἀρχεγόνου ἀρᾶς.

Ὃν ὁ Προφήτης Ἀββακοὺμ, προβλεπτικοῖς ὄμμασι, κατανοῶν ἐκήρυττε Θεὸν, ὁ πρεσβύτης σήμερον ἐν τῷ ναῷ εἰσδέχεται βοῶν, νῦν ἀπολύεις τὸν δοῦλον σου, δέσποτα ἐν εἰρήνῃ κατὰ τὸ ῥῆμά σου.

Σὲ τὸν ἀνατείλαντα ἐξ ἀπειράνδρου μητρὸς, ὁ Προφήτης Ἀββακοὺμ προϊδὼν ἀνεβόα, ἐπ᾽ ἐσχάτων τῶν χρόνων, τοῦ σῶσαι τοὺς Χριστούς σου ἐλήλυθας. δόξα τῇ δυνάμει σου Κύριε.

## ὨΔῊ Ε. ἬΧΟΣ Δ.

Σὺ Κύριε μου φῶς, εἰς τὸν κόσμον ἐλήλυθας, φῶς ἅγιον ἐπιστρέφον, ἐκ ζοφώδους ἀγνοίας, τοὺς πίστει ἀνυμνοῦντάς σε.

Τοῦ Εὐαγγελισμοῦ.

Ἐξίστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου. σὺ γὰρ ἀπειρόγαμε παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεὸν, καὶ τέτοκας ἄχρονον υἱὸν, πᾶσι τοῖς ὑμνοῦσί σε τὴν εἰρήνην βραβεύουσα.

Τῶν Βαΐων.

Τὴν Σιὼν ἐπ' ὄρους ἀνάβηθι ὁ εὐαγγελιζόμενος, καὶ τὴν Ἱερουσαλὴμ ὁ κηρύσσων, ἐν ἰσχύϊ ὕψωσον φωνὴν, δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ, καὶ σωτήριον ἔθνεσιν.

Τῆς Πεντηκοστῆς.

Λυτήριον κάθαρσιν ἀμπλακημάτων,
Πυρίπνοον δέξασθε πνεύματος δρόσον,
Ὦ τέκνα φωτόμορφα τῆς Ἐκκλησίας.
Νῦν ἐκ Σιὼν γὰρ ἐξελήλυθε νόμος,
Ἡ γλωσσοπυρσόμορφος Πνεύματος χάρις.

Τῆς Ὀκτωήχου.

Νῦν ἀναστήσομαι Προφητικῶς ἔφη ὁ Θεὸς, νῦν δοξασθήσομαι, τὸν πεσόντα προσλαβὼν ἐκ τῆς παρθένου, καὶ πρὸς φῶς τὸ νοητὸν αὐγάζων τῆς ἐμῆς θεότητος.

Ἀνάτειλόν μοι Κύριε τὸ φῶς τῶν προσταγμάτων σου, ὅτι πρὸς σὲ τὸ πνεῦμα μου ὀρθρίζει, καὶ ὑμνεῖ σε. σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ πρὸς σὲ καταφεύγω, τῆς εἰρήνης Βασιλεῦ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸν φωτισμόν σου Κύριε κατάπεμψον ἡμῖν, καὶ τῆς ἀχλύος ἡμᾶς τῶν πταισμάτων λῦσον ἀγαθέ, τὴν σὴν εἰρήνην δωρούμενος.

Ἀσεβεῖς οὐκ ὄψονται τὴν δόξαν σου Χριστέ, ἀλλ᾽ ἡμεῖς σὲ μονογενές, πατρικῆς ἀπαύγασμα δόξης θεότητος, ἐκ νυκτὸς ὀρθρίζοντες, ἀνυμνοῦμέν σε φιλάνθρωπε.

Τῷ νόμῳ τῶν ἐντολῶν σου, μόνε φιλάνθρωπε, φώτισον τὴν καρδίαν μου, δέομαι Κύριε, καὶ ἐλέησόν με.

Ὁ κτησάμενος ἡμᾶς περιούσιον λαόν, τῷ αἵματί σου Κύριε, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, ἐν ὁμονοίᾳ φυλάττων τὴν ποίμνην σου.

Ὁ τοῦ φωτὸς διατμήξας τὸ πρωτόγονον φάος, ὡς ἐν φωτὶ τὰ ἔργα ὑμνεῖ σε Χριστέ, τὸν δημιουργὸν ἐν τῷ φωτί σου, τὰς ὁδοὺς ἡμῶν εὔθυνον.

Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, τοὺς παρανόμους Ἑβραίους, καὶ πῦρ ἔδεται τοὺς ὑπεναντίους σου. ὅτι σὲ τὸν σταυρωθέντα πλάνον ὠνόμασαν.

Ἐκ νυκτὸς ὀρθρίζοντες πάντες ἀσιγήτως, σὲ τὸ ἀπρόσιτον ἱκετεύομεν φῶς, ὁ Θεὸς ὁ οἰκτίρμων, τὴν σὴν εἰρήνην Χριστὲ δώρησαι ἡμῖν.

Ὄρθρον φαεινὸν ἡμῖν ἐξανάτειλον ὡς ἀγαθός, καὶ ὁδήγησον ἡμᾶς εἰς τὸν φόβον σου Δέσποτα.

Νυκτομαχῶν τῶν παθῶν τῇ ἰλύϊ, πρὸς σὲ ὀρθρίζω

τὸν μόνον εὔσπλαγχνον, τῆς ψυχῆς μου τὴν ἀχλὺν καταλάμψαι, καὶ σειρὰς διατμῆξαι τῶν ὀφλημάτων μου, ὅπως τῷ σῷ συναϊδίῳ πνεύματι, καταγλαϊζόμενος δικαιοσύνης ὁδὸν, ἀκήρατον εὕροιμι τῶν προσταγμάτων σου.

Ἄνθρακα πυρὸς τῇ λαβίδι δέχεται, ὁ Ἡσαΐας ποτὲ, τὰ χείλη καθηράμενος. νῦν δὲ ἡ παρθένος ἐν τῷ ναῷ φέρουσα Θεὸν σωματωθέντα δι' ἡμᾶς, τῇ χερσὶ λαβίδι τῷ πρεσβύτῃ ἐπιδίδωσιν, εἰρήνης τὸν αἴτιον, καὶ τοῦ παντὸς χορηγόν.

Κέρας χρηστότητος ὁ Ἡσαΐας λαμπόμενος, τῶν νέων ὁρῶν τὰ στρατεύματα κύκλῳ ἔσωτα, σπουδῇ ἀσεβείᾳ, ῥῦσαι τὸ πνεῦμά μου, καὶ ἐκ νυκτὸς ἀνάτειλον πάλαι τῆς φθορᾶς, εἰς τὰ πέρατα τοῦ κόσμου ἄδυτος ἥλιος.

Τὸ ζοφερὸν διάλυσον τῆς ἁμαρτίας μου, ἐν τῷ ἀναπέμψειν σοι ὄρθρον φαεινὸν τῶν ἐντολῶν σου, Κύριε τὸ ἀπρόσιτον φῶς.

Ὁ ἀνατείλας τὸ φῶς, καὶ φωτίσας τὸν ὄρθρον, καὶ δείξας τὴν ἡμέραν, δόξα σοι δόξα σοι Ἰησοῦ υἱὲ τοῦ Θεοῦ.

Ἐν μέσῳ δύο λῃστῶν ἐγνώσθης ἐν τῷ σταυρῷ Χριστὲ ὁ Θεὸς, καὶ ἐπήρθη ὁ ἥλιος ἐν τῷ δρόμῳ, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς, δόξα τῇ δυνάμει σου Κύριε.

Τὸ φῶς τὸ ἀληθινὸν, τὸ φωτίζον πάντα ἄνθρωπον, λάμψον εἰς ἡμᾶς τῇ αἴγλῃ τῶν ἐντολῶν σου, καὶ ἀ-

πέλασον ἡμῶν τὴν νύκτα τῶν παθῶν, ὅτι ἐκτός σου ἄλλον Θεὸν οὐκ οἴδαμεν.

## ΩΔΗ ϛʹ. ΗΧΟΣ Δʹ.

Θύσωσοι μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι' οἶκτον ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι.

Τοῦ Εὐαγγελισμοῦ.

Ἐβόησε προτυπῶν τὴν ταφὴν τὴν τριήμερον, ὁ Προφήτης Ἰωνᾶς ἐν τῷ κήτει δεόμενος, ἐκ φθορᾶς με ῥῦσαι, Ἰησοῦ Βασιλεῦ τῶν δυνάμεων.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες τῆς θεομήτορος. δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάσωμεν.

Τῶν Βαΐων.

Ἐβόησαν ἐν εὐφροσύνῃ δικαίων τὰ πνεύματα, νῦν τῷ κόσμῳ διαθήκη καινὴ διατιθέται, καὶ ῥαντίσματι καινουργείσθω λαὸς θείου αἵματος.

Τῆς Πεντηκοστῆς.

Ἱλασμὸς ἡμῖν Χριστὲ καὶ σωτηρία.

Ὁ δεσπότης ἔλαμψας ἐκ τῆς παρθένου,
Ἵν' ὡς Προφήτην θηρὸς ἐκ θαλαττίου,
Σπλάγχνων Ἰωνᾶν τῆς φθορᾶς διαρπάσῃς,
Ὅλον τὸν Ἀδὰμ παγγενῆ πεπτωκότα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ κατεπόντισέ με, καταιγὶς πολλῶν ἁμαρτημάτων. ἀλλ' ὡς Θεὸς ἐκ βυθοῦ ἀνάγαγε, τὴν ζωήν μου πολυέλεε.

Ἐν πελάγει τοῦ βίου ταῖς πράξεσί μου κατῆλθον εἰς ᾅδην, ἀλλ' ὡς ἐκ κήτους Ἰωνᾶς, οὕτως βοῶ. ἐκ βυθοῦ τῶν κακῶν ἀνάγαγε δέομαι υἱὲ τοῦ Θεοῦ, καὶ λόγε.

Ἑσπέρας, καὶ πρωΐ, καὶ μεσημβρίας, αἰνοῦμέν σε Κύριε ὁ Θεὸς ἡμῶν, εἰσάκουσον τῆς φωνῆς ἡμῶν.

Τῷ κλύδωνι συνεχόμενος τῶν πταισμάτων, φιλανθρωπίας ἀξιούμενος οὐ γινώσκω. ὡς τὸν Προφήτην Ἰωνᾶν κἀμὲ διάσωσον Σωτήρ.

Ἐν κήτει Χριστὲ ἐξημερώσας, ὁ Ἰωνᾶς προέγραψέ σε τὸν ἀθάνατον, ὡς νεκρὸν ἑκουσίως, ἐν τῇ καρδίᾳ τῆς γῆς ἐξημερεύσαντα.

Ὡς τὸν Προφήτην ἐκ τοῦ βυθοῦ, καὶ φθορᾶς ἀνήγαγες, τὴν ζωήν μου ἀγαθέ, ἐκ πταισμάτων ῥῦσαι τῇ εὐσπλαγχνίᾳ σου.

Ἐν τῷ θλίβεσθαί με ἐβόησα πρὸς Κύριον, καὶ ἐπήκουσέ μου ὁ Θεὸς τῆς σωτηρίας μου.

Ὁ τῆς σῆς ἐν Ἰωνᾷ ταφῆς τὸν τύπον προδιαγράψας σαφῶς, καὶ τοῦτον ἀληθῶς ἑλκύσας τοῦ θηρός, κἀμὲ σωτὴρ τῆς ἁμαρτίας τοῦ βυθοῦ ἀνάγαγε, καὶ πρὸς ζωὴν σαφῶς δέομαι καθοδήγησον.

Μὴ

Μὴ καταποντισάτωμε καταιγὶς ὕδατος, μηδὲ καταπιέτωμε βυθός. ἀπέῤῥιμαι γὰρ εἰς βάθη καρδίας θαλάσσης τῶν κακῶν μου. διὸ κραυγάζω ὡς Ἰωνᾶς, ἀνάβήτω ἐκ φθορᾶς τῶν κακῶν ἡ ζωή μου πρός σὲ ὁ Θεός.

Ὡς Ἰωνᾶν τὸν Προφήτην, ἐλυτρώσω τοῦ κήτους Χριστὲ ὁ Θεὸς, κἀμὲ τοῦ βυθοῦ τῶν πταισμάτων ἀνάγαγε, καὶ σῶσόν με μόνε φιλάνθρωπε.

Ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου, καὶ ἀνήγαγες ἐκ φθορᾶς τοῦ κλύδωνος τῶν πταισμάτων. περιέχει γὰρ σωτὴρ, καὶ βυθίζειν πειρᾶται ἀγαθέ. ἀλλ᾽ ὥσπερ τὸ πρὶν τὸν Ἰωνᾶν ἀνήγαγες ἐκ φθορᾶς, κἀμὲ δέομαι Κύριε προφθάσας διάσωσον.

Ζάλημε λογισμῶν καταλαβοῦσα, εἰς βυθὸν καθέλκειμε ἀμέτρων ἁμαρτημάτων. ἀλλὰ σὺ κυβερνῆτα ἀγαθὲ, προφθάσας κυβέρνησον, ὡς τὸν Προφήτην, καὶ σῶσόν με.

Μυστικῶς ὑποφήτης τῆς τριημέρου ταφῆς, ὁ Ἰωνᾶς ἀναδέδεικται, ὁλοφωτίῳ γαστρὶ θηρὸς τριημερεύσας, ἀπὸ φθορᾶς καὶ παθῶν ἐξαλεῖψαι δέσμα κραυγάζει πιστῶς, φωνὴν αἰνέσεως Κύριε. δέξαί μου ἐξ ᾅδου κατωτάτου Χριστὲ σωτὴρ, καὶ σῶσόν με.

Χειμαζομένου μου οἰκτίρμον σάλῳ τῶν κυμάτων μου,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δέομαι ἀνακάλεσόν με, καὶ διάσωσον δέομαι Κύριε, ὡς Ἰωνᾶν ἐκ τοῦ θηρὸς τοῦ νοητοῦ.

Τῶν πταισμάτων τῇ ζάλῃ βυθιζόμενος, ὡς ἐν κοιλίᾳ τοῦ κήτους συνεχόμενος, σὺν τῷ Προφήτῃ κράζω σοι, ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου Κύριε, καὶ σῶσόν με.

Ἰωνᾶς ὁ Προφήτης ἐν τῇ κοιλίᾳ τοῦ κήτους, ἐκ θλίψεως ἐβόησεν, ἡ κεφαλή μου ἔδυ εἰς σχισμὰς ὀρέων Κύριε. ὁ δὲ Συμεὼν ὑποδεξάμενός σε χαρμονικῶς ἐκραύγαζε, νῦν ἀπολύεις τὸν δοῦλόν σου κατὰ τὸ ῥῆμά σου.

Τὸν ἐνάλιον θρῆνον Χριστὲ, Ἰωνᾶν ἐκμιμούμενος κράζω σοι, τὴν ζωήν μου ἐξ ᾅδου πταισμάτων ἀνάγαγε, ἵνα ἐν τῷ ναῷ τῆς δόξης σου, μετὰ φωνῆς αἰνέσεως θύσω σοι.

Ὁ τὸν Προφήτην ἐν τῇ κοιλίᾳ τοῦ κήτους διαφυλάξας, ἅγιε Κύριε βοήθησόν μοι.

## ΩΔΗ. Ζ'. ΗΧΟΣ. Δ'.

Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι παῖδες τῇ περσικῇ, πόθῳ εὐσεβείας μᾶλλον ἢ τῇ φλογὶ, πυρπολούμενοι ἐκραύγαζον. εὐλογημένος εἶ ἐν τῷ ναῷ, τῆς δόξης σου Κύριε. Τοῦ Εὐαγγελισμοῦ.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες παρὰ τὸν

κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλὴν ἀνδρείως πατήσαντες, ἔχαιρον ψάλλοντες, ὑπερύμνητε ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Τῶν Βαΐων.

Ὁ διασώσας ἐν πυρὶ τοὺς ἀβραμιαίους σου παῖδας, καὶ τοὺς Χαλδαίους ἀνελὼν, οὓς ἡ δίκη δικαίως ἐνήδρευσεν. ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Τῆς Πεντηκοστῆς.

Σύμφωνον ἐθρόησεν Ὀργάνων μέλος,
Σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας,
Ἡ τοῦ Παρακλήτου δὲ φωσφόρος χάρις,
Σεβασμιάζειν τοῦ βοᾷν τριὰς μόνη,
Ἰσοσθενὲς ἄναρχε εὐλογητὸς εἶ.

Τῆς Ὀκτωήχου.

Νέοι τρεῖς ἐν Βαβυλῶνι, πρόσταγμα τυραννικὸν, εἰς φλυάφον θέμενοι, ἐν μέσῳ φλογὸς ἀνεβόων. εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Τῇ εἰκόνι τῇ χρυσῇ μὴ προσκυνήσαντες παῖδες, Ἀβραμιαῖοι ἐδοκιμάζοντο, ὥσπερ χρυσὸς ἐν χωνευτηρίῳ ἐν καμίνῳ τοῦ πυρὸς, ὡς ἐν θαλάμῳ φωτεινῷ ἐχόρευον βοῶντες. εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἀβραμιαῖοι ποτὲ ἐν Βαβυλῶνι παῖδες, καμίνου φλόγα κατεπάτησαν, ἐν ὕμνοις κραυγάζοντες, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸν ἐν καμίνῳ τοὺς παῖδας ἀφλέκτους τηρήσαντα, καὶ τὸ πῦρ κατασβέσαντα, ὑμνήσωμεν λέγοντες, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Τῶν Χαλδαίων τὴν κάμινον, πάλαι Ἄγγελος συγκαταβὰς ἐδρόσισεν, οἱ ἐν Βαβυλῶνι παῖδες, διὰ τοῦτο ἔψαλλον. ὁ τῶν πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὁ ἐν ἀρχῇ ἄναρχος λόγος, σὺν Πατρὶ καὶ πνεύματι υἱὸς μονογενὴς, εὐλογημένος εἶ καὶ ὑπερυψούμενος, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τῆς διαθήκης σου μνησθεὶς Χριστὲ ὁ Θεὸς, τοὺς παῖδας ἐῤῥύσω ἐκ φλογὸς, δι' Ἀγγέλου συγκαταβάσεως, μόνε ἀληθῶς ὑπερένδοξε.

Χαλδαϊκῆς καμίνου, οἱ παῖδες κατεφρόνησαν, διὰ τὸ ὄνομά σου σωτὴρ, καὶ σκιρτῶντες ἔκραζον, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Πῦρ φλέγον ἐν καμίνῳ ἐξετεινάσετο, παῖδες ἐδροσίζοντο, καὶ ὑμνοῦντες ἔλεγον. εὐλογητὸς εἶ ὁ μόνος ὑπάρχων Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς, μὴ καταισχυνῄς ἡμᾶς. ἀλλὰ δώρησαι ἡμῖν ἐν παῤῥησίᾳ βοᾶν σοι. εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Εὐλογητὸς εἶ ὁ Θεὸς, ἐν τῇ καμίνῳ οἱ παῖδες ὡμολόγουν. Ἀγγέλου τε ἤκουον βοῶντος πρὸς αὐτοὺς, ἰδοὺ εἰσηκούσθη ἡ δέησις ἡμῶν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μὴ παραδώῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ὑπερύμνητος εἰς τοὺς αἰῶνας.

Σοβαροῦς Βασιλέως Περσῶν διατάγματος βρομίῳ πυρὶ καθωπλίσαντο, παίδων ὁ τριφεγγὴς θίασος ἐν καμίνῳ, πυραφλέκτως βοῶν. ὁ αἰνετὸς τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Τοῦ Ἀβραὰμ οἱ ἀπόγονοι, Βαβυλωνίων φλόγα κατεπάτησαν, προτυποῦντες ἐν αὐτῇ τῆς παρθένου τὸ θαῦμα. ὃν Συμεὼν δεξάμενος, ἠγαλλιάσατο βοῶν. νῦν ἀπολύεις τὸν δοῦλόν σου ὁ τῶν Πατέρων Θεός.

Σὲ ζωγραφοῦσα ἡ Ἀσσύριος φλόγα, νέους τρεῖς διέσωσε Κύριε, ὡς καὶ τὴν παρθένου οὐ κατέφλεξε κόρην, ἐν τῷ θείῳ τόκῳ σου ὁ θεϊκὸς ἀνθήρ. ὑπερύμνητε ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὁ ἐν τῷ ὄρει Μωσεῖ συλλαλήσας, καὶ τύπον τῆς Παρθένου τῇ βάτῳ δείξας, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Οἱ ἐν Βαβυλῶνι παῖδες, τῷ θείῳ πυρπολούμενοι ζήλῳ, τυράννου καὶ φλογὸς ἀπειλὴν ἀνδρείως κατεπάτησαν, καὶ μέσον πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον. εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΩΔΗ Η'. ΗΧΟΣ Δ'.

Χεῖρας ἐκπετάσας Δανιὴλ, Λεόντων χάσματα, ἐν λάκκῳ ἔφραξε, πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταὶ παῖδες κραυγάζοντες. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τοῦ Εὐαγγελισμοῦ.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἐγείρει ψάλλειν σοι. τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄκουε κόρη παρθένε ἁγνὴ, εἰπάτω δὴ ὁ Γαβριὴλ, βουλὴν ὑψίστου ἀρχαίαν ἀληθινὴν, γενοῦ πρὸς ὑποδοχὴν ἑτοίμη θεοῦ, διὰ σοῦ γὰρ ὁ ἀχώρητος βροτοῖς συναναστρέφεται. διὸ καὶ χαίρων βοῶ. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τῶν Βαΐων.

Εὐφράνθητι Ἱερουσαλὴμ, Πανηγυρίσατε οἱ ἀγαπῶντες Σιών. ὁ Βασιλεύων γὰρ εἰς τοὺς αἰῶνας, Κύριος τῶν δυνάμεων ἦλθεν. εὐλαβείσθω πᾶσα ἡ γῆ ἐκ προσώπου αὐτοῦ, καὶ βοάτω. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τῆς Πεντηκοστῆς.

Λύει τὰ δεσμὰ καὶ δροσίζει τὴν φλόγα,
Ὁ τριλαμπής... 

Ὁ τριλαμποφεγγὴς τῆς Θεαρχίας τύπος.
Ὑμνοῦσι παῖδες, εὐλογεῖ δὲ τὸν μόνον,
Σωτῆρα καὶ παντουργὸν ὡς εὐεργέτην.
Ἡ δημιουργηθεῖσα σύμπασα κτίσις.

Τῆς Ὀκτωήχου.

Λυτρωτὰ τοῦ παντὸς παντοδύναμε, τοὺς ἐν μέσῳ φλογὸς εὐσεβήσαντας, συγκαταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας μέλπειν.. πάντα τὰ ἔργα εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ἐν πυρὶ φλογὸς παρίστανταί σοι, Χερουβὶμ Σεραφὶμ Κύριε, καὶ πᾶσα κτίσις, ὕμνον ᾄδουσι τερπνόν. ὑμνεῖτε εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε Χριστὸν τὸν μόνον δημιουργόν, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐν σταυρῷ σαρκὶ προσηλωθέντα, καὶ ὑποδείξαντα ἡμῖν ὅπλον εἰς σωτηρίαν, παῖδες ὑπερυψοῦτε Χριστὸν τὸν Θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας.

Ὁ τὰ σύμπαντα φέρων τῇ ἀπροσίτῳ σου δυνάμει Χριστὲ, τοὺς ὁσίους σου παῖδας ἐν τῇ φλογὶ ἐδρόσισας κράζοντας. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὸν ἐν μορφῇ Ἀγγέλου ὁραθέντα ἐν καμίνῳ πυρὸς τοῖς ὑμνολόγοις, Χριστὸν τὸν Θεὸν ὑμνεῖτε.

Τὺς ἐπιβάντας ἐν φλογὶ, παρανόμυ τυράννυ προστάγματι, παῖδας μεμυημένοι, ἀσιγήτοις χείλεσιν, ἐν ὑψίστοις αἰνετῶς ἐκβοήσωμεν Ἀγαθὲ, ὑπερφυῶς ὑπάρχων πανάγιος, τὺς ὑμνῦντάς σε, φέγγει τῷ νοητῷ σῦ καταύγασον.

Τὸν ἐν καμίνῳ τῦ πυρὸς, ἐν Βαβυλῶνι τὺς παῖδας τῶν ἑβραίων διασώσαντα Θεὸν, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψῦτε, αὐτὸν εἰς τὺς αἰῶνας.

Τὸν ἐν φλογὶ συγκαταβάντα, τοῖς ὑμνολόγοις τῆς Σιὼν, μορφῇ Ἀγγέλυ, παῖδες ὑπερυψῦτε, Χριστὸν τὸν Θεὸν ἡμῶν εἰς τὺς αἰῶνας.

## ΩΔΗ Θ΄. ΗΧΟΣ. Δ΄.

Λίθος ἀχειρότμητος ὄρυς, ἐξ ἀλοξεύτυ σῦ παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας τὰς διεστώσας φύσεις. διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

Τῦ Εὐαγγελισμῦ.

Ἅπας γηγενὴς, σκιρτάτω τῷ πνεύματι λαμπαδυχύμενος πανηγυριζέτω δὲ ἀΰλων νόων φύσις γεραίρυσα, τὴν ἱερὰν πανήγυριν τῆς θεομήτορος. καὶ βοάτω, χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Ὡς ἐμψύχῳ Θεῦ κιβωτῷ, ψαυέτω μηδαμῶς χεὶρ

ἀμυή-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀμυήτων· χείλη δὲ πιστῶν τῇ Θεῷ ἀσιγήτως, φωνὴν τοῦ Ἀγγέλου ἀναμέλποντα, ἐν ἀγαλλιάσει βοάτω, χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ.

Τῶν Βαΐων.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, συστήσασθε ἑορτήν, καὶ ἀγαλλόμενοι. δεῦτε μεγαλύνωμεν Χριστόν, μετὰ βαΐων, καὶ κλάδων ὕμνοις κραυγάζοντες, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου σωτῆρος ἡμῶν.

Τῆς Πεντηκοστῆς.

Χαίροις ἄνασσα μητροπάρθενον κλέος,
Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα,
Ῥητρεύειν οὐ σθένει σε μέλπειν ἀξίως.
Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον νοεῖν,
Ὅθεν σε συμφώνως δοξάζομεν.

Τῆς Ὀκτωήχου.

Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι, τὴν κατάραν εἰσῳκίσατο. σὺ δὲ παρθένε Θεοτόκε, τῷ τῆς κυοφορίας βλαστήματι, τῷ κόσμῳ τὴν εὐλογίαν ἐξήνθησας. ὅθεν σε πάντες μεγαλύνομεν.

Κρυπτὸν θεῖον ἄφραστον ἐν σοὶ τελεῖται, ἐμφανὲς μυστήριον, Παρθένε ἄχραντε. καὶ γὰρ Θεὸς ἐκ σοῦ σεσωμάτωται δι' εὐσπλαγχνίαν. διό σε ὡς Θεοτόκον μεγαλύνομεν.

Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, Καθεῖλε γὰρ δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς, ὁ Θεὸς τοῦ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἰσραὴλ, ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, καὶ κατεύθυνεν ἡμᾶς εἰς ὁδὸν εἰρήνης.

Σὲ τὴν τὸν ἀχώρητον λόγον ἐν γαστρὶ χωρήσασαν, τὴν τῶν οὐρανῶν πλατυτέραν, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέραν, Θεοτόκε ἄχραντε ὕμνοις μεγαλύνομεν.

Σὲ τὴν ὑπερένδοξον νύμφην, καὶ παναγίαν Θεοῦ, τὴν τὸν κτίστην τεκοῦσαν τῶν ὁρατῶν τε, καὶ πάντων ἀοράτων, ἐν ὕμνοις μεγαλύνομεν.

Σὲ τὴν ἀπειρόγαμον Θεοτόκον, τὴν οὐράνιον παστάδα, τὴν τεκοῦσαν τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν, ἐν ὕμνοις μεγαλύνομεν.

Ἀνωτέρα τῶν ὑπερκοσμίων νόων, καὶ τῶν πολυμόρφων Χερουβὶμ ὑψηλοτέρα, ἄχραντε Μήτηρ Θεοῦ, τὸν κτίστην συνέλαβες· αὐτὴ γὰρ τῶν ἐν κτίσει δεσπόζεις ἁπάντων. ὅθεν ἐν ὕμνοις Θεοτόκον, οἱ πιστοὶ σὲ μεγαλύνομεν.

Ὁ τόκος σου ἄφθορος ἐδείχθη, Θεὸς ἐκ λαγόνων σου προῆλθε, σαρκοφόρος ὡς ὤφθη, ἐπὶ γῆς καὶ τοῖς ἀνθρώποις συνανεστράφη. σὲ Θεοτόκε διὸ πάντες μεγαλύνομεν.

Γηγενῶν ἐκφυεῖσα, καὶ τὸν κτίστην τεκοῦσα, τὸ ἡμέτερον καύχημα Θεοτόκε ἁγνή, σὲ ὡς δεσπόζουσαν τῶν ποιημάτων μεγαλύνομεν.

Μεγαλύνομεν πάντες, τὴν φιλανθρωπίαν σου Σ

σωτὴρ ἡμῶν, ἡ δόξα τῶν δούλων σου, καὶ Στέφανος τῶν πιστῶν, ὁ μεγαλύνας τὴν ποίμνην τῆς τεκούσης σε.

Τὸν ἄσπορον τόκον σου, Θεοῦ ἄχραντε, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐν ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

Σὲ ὡς χωρίον ἀχράντου λόγου, καὶ δοχεῖον τοῦ πυρὸς, καὶ τῆς εὐδοκίας ἐργαστήριον ὑμνοῦμεν. ἐν σοὶ γὰρ τὸ συνάλλαγμα τῆς σωτηρίας ἡμῶν ἐξείργαστο.

Τὴν πυρσόδροσον πάλαι, κάμινον τῶν Χαλδαίων, καὶ πυρὶ ἀφλέκτῳ τὴν βάτον ἐν Σινᾶ, Θεοτόκον πάντες ἐν ὕμνοις μεγαλύνομεν.

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Παρθένος μάρτυς πολύαθλος, παρθένου μητέρα πολυύμνητον, σήμερον ἐν τῷ αὐτῆς νυμφῶνι, ἐπιδημοῦσαν ξεναγεῖ, νυμφοστόλοι πάντες χορεύσωμεν Παξία, εὐσεβῶς τὴν Βασιλίδα μεγαλύνοντες.

Σὲ τὴν ὑπὲρ πᾶσαν ἔννοιαν, μητροπάρθενον κόρην ἀνύμφευτον, τὸν σωτῆρα καὶ Θεὸν, ἀφράστῳ λόγῳ κυήσασαν, κατὰ χρέος οἱ πιστοὶ ἅπαντες εὐσεβῶς μεγαλύνομεν.

Ἀκατάληπτος ὁ τόκος τῆς λοχείας σου, ἀνερμήνευτος ὁ πλοῦτος τῆς ἁγνείας σου, μετὰ τόκον παρθένος εἶ γὰρ μόνη γυναικῶν, ὡς τεκοῦσα τὸν αὐτῆς ποιητὴν, καὶ κέρας σεῖον τοῖς πιστοῖς ἀνυψώσαν·

τα τὸν τίμιον σταυρόν. ἐν ᾧ σωθέντες διὰ σοῦ, ὡς Θεοτόκον μεγαλύνομεν.

Σοῦ τὴν πάναγνον, καὶ ἄφθορον μήτραν παρθένε Θεοτόκε, ὁ Θεοῦ θεὸς λόγος ἁγιάσας, σώαν ἐφύλαξεν, ἐξ αὐτῆς προελθὼν, τεσσαρακονθήμερον βρέφος ὡράθη. ᾧ προσάγεται ὡς νόμου ποιητὴς, καὶ τοῦ νόμου δοτὴρ, ὃν μεγαλύνομεν.

Ἐν σοὶ Θεοτόκε τὸ ἡμέτερον ἥττημα πέπαυται. τὸν γὰρ ἀόρατον λόγον, ἐν σπλάγχνοις σοῦ δεξαμένη, διπλοῦν αὐτὸν τέτοκας θεὸν ὁμοῦ, καὶ ἄνθρωπον. ᾧ τὰ Χερουβὶμ ἀτενίσαι οὐ τολμᾷ, μεγαλύνομεν ὅθεν σε πάναγνε.

Μετὰ τόκον σὺ ἁγνὴ, καὶ πρὸ τοῦ τόκου, καὶ ἐν τόκῳ ἄχραντε, σὲ πᾶσα ἡ κτίσις καταγγέλλουσα, ὡς Θεοτόκον ἀληθῆ μεγαλύνομεν.

Ὑμνοῦμέν σε ἄχραντε παρθενομήτορ ἔνδοξε, ὅτι ἀνεβλάστησας τὸν οὐράνιον στάχυν Χριστὸν τὸν Θεὸν, ὑπὲρ πᾶσαν ἔννοιαν, ἐκ σοῦ ἄρτος γέγονε ζωηφόρος τοῖς πιστοῖς διὸ κραυγάζομεν. Χαῖρε ἄμωμε, ἡ μείνασα Παρθένος μετὰ τὸν τόκον ἁγνή.

# ἈΡΧῊ ΤΩ͂Ν ΕἹΡΜΩ͂Ν
## Τῶν Πλαγίων Ἤχων.

### ὨΔῊ Α΄. ἮΧΟΣ πλ. Α΄.

Ἵππον καὶ ἀναβάτην εἰς θάλασσαν ἐρυθρὰν, ὁ συντρίβων πολέμους, ἐν ὑψηλῷ βραχίονι, Χριστὸς ἐξετίναξεν, Ἰσραὴλ δὲ ἔσωσεν, ἐπινίκιον ὕμνον ᾄδοντα. Εἰς τὴν ἀνάληψιν.

Τῷ σωτῆρι Θεῷ, τῷ ἐν θαλάσσῃ λαὸν, ποσὶν ἀβρόχοις ὁδηγήσαντι, καὶ Φαραὼ πανστρατιὰ καταποντίσαντι, αὐτῷ μόνῳ ᾄσωμεν ὅτι δεδόξασται.

Τῆς Ὀκτωήχου.

Ἄσωμεν τῷ Κυρίῳ, τῷ ποιήσαντι θαυμαστὰ τέρατα, ἐν ἐρυθρᾷ θαλάσσῃ, ᾠδὴν ὅτι δεδόξασται.

Γῆν ἐφ' ἣν οὐκ ἔλαμψεν, οὐκ εἶδεν ἥλιος ποτὲ, ἄβυσσον ἣν οὐκ ἑώρακε γυμνὴν, τὸ κῆτος οὐρανοῦ, Ἰσραὴλ διώδευσεν ἀβρόχως Κύριε, καὶ εἰσήγαγες αὐτὸν εἰς ὄρος ἁγιάσματός σου, ᾄδοντα ψάλλοντα, ἐπινίκιον ᾠδήν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Ὠδὴν ἐπινίκιον προσάξωμεν λαοί, τῷ ῥυσαμένῳ Θεῷ ἐκ δουλείας Φαραώ, τὸν Μωσέως λαόν, ἐνδόξως γὰρ δεδόξασται.

Ἄσωμεν τῷ σωτῆρι τῶν ὅλων, τῷ ἑκουσίῳ βουλῇ, ἐπὶ ξύλου προσηλωθέντι, καὶ τὸν κόσμον φωτίσαντι.

Χριστὸς ἐφάνη ἐπὶ γῆς, λυτρωσάμενος τὸ γένος ἡμῶν ἐξ εἰδωλομανίας, αὐτῷ μόνῳ ἄσωμεν.

Ἄσωμεν τῷ Κυρίῳ τῷ θαυμαστῷ, ὅτι ἐκ πικρᾶς ἐλευθερώσας δουλείας τὸν Ἰσραήλ, τὸν Φαραὼ πανστρατιᾷ ἐβύθισε

Δῶσω μεγαλωσύνην Κυρίῳ, τῷ ζῶντι εἰς αἰῶνας, πεζοπορῶν ὁ Ἰσραήλ, ἀνεπίβατον τρίβον, προστάγματι δεσποτικῷ χαίρων ὑπέψαλλε, τῷ Κυρίῳ ἄσωμεν. ἐνδόξως γὰρ δεδόξασται.

## ὨΔΗ΄ Β΄. ἮΧΟΣ πλ. Α΄.

Πρόσεχε οὐρανέ, καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστόν, τὸν δι' ἡμᾶς ἐκ παρθένου σαρκωθέντα, καὶ φθορὰν, καὶ θάνατον τῷ πάθει καθελόντα.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι Θεὸς ὁ σάρκα ἐνδυσάμενος βουλήσει ἑκουσίᾳ, ἵνα σώσω τὸν Ἀδάμ, τὸν ἐκ πλάνης πεσόντα, τῇ παραβάσει διὰ τοῦ ὄφεως.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ἡμῶν, ὁ ἐν θαλάσσῃ σώσας λαόν, καὶ ἐν ἐρήμῳ θρέψας αὐτόν,

καὶ ἄνθρωπος γεγονὼς, ἵνα σώσω τὸ γένος τῶν ἀνθρώπων.

## ὨΔἨ Γ'. Ἠ̓ΧΟΣ πλ. Α'.

Ὁ πήξας ἐπ' οὐδενὸς τὴν γῆν τῇ προστάξει σου, καὶ μετεωρήσας ἀσχέτως βριθοῦσαν, ἐπὶ τὴν ἀσάλευτον Χριστὲ πέτραν τῶν ἐντολῶν σου, τὴν Ἐκκλησίαν σου στερέωσον, μόνε ἀγαθὲ καὶ φιλάνθρωπε.

Τῆς ἀναλήψεως.

Δυνάμει τοῦ σταυροῦ σου Χριστὲ, στερέωσόν μου τὴν διάνοιαν, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σου, τὴν σωτήριον ἀνάληψιν.

Τῆς Ὀκτωήχου.

Στερέωσον ἡμᾶς ὁ Θεὸς τῇ σῇ δυνάμει, καὶ κατάβαλε αἱρετικῶν τὰ φρυάγματα, καὶ ἀνύψωσον τὸ κέρας ἡμῶν.

Ἐπὶ τὰ ἔθνη ὁ Θεὸς ἐβασίλευσεν, ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ, καὶ ψάλλομεν αὐτῷ συνετῶς, ὡς Βασιλεῖ καὶ Θεῷ.

Στερέωσόν με Κύριε, τὸν ἐν τῷ βίῳ χειμαζόμενον, καὶ χεῖρά μοι ἔκτεινον ὡς παντοδύναμος.

Σαλευομένην τὴν καρδίαν μου, τοῖς κύμασι τοῦ βίου στερέωσον, εἰς λιμένα εὔδιον καθοδηγῶν ὡς Θεός.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐν τῇ πέτρᾳ τῶν ἐντολῶν σου, κλονούμενόν με στερέωσον, ὕψωσόν μου τὸ κέρας ἐν τῇ συνέσει τῶν σῶν δογμάτων, ἵνα καυχώμενος βοῶ σοι, οὐκ ἔστιν ἅγιος πλήν σου Κύριε τῶν δυνάμεων.

Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος, καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεός μου, ὁ ὑψῶν τὸ κέρας ἡμῶν, καὶ διδοὺς ἰσχὺν τοῖς Βασιλεῦσιν ἡμῶν.

Στερέωσόν με μόνε οἰκτίρμον, δυνάμει τοῦ σταυροῦ σου, ἐν αὐτῷ γὰρ καυχῶμαι, ὅτι οὐκ ἔστιν ἅγιος πλήν σου Κύριε.

Στερέωμα μου γενοῦ, καὶ καταφυγὴ σωτὴρ, καὶ τῆς Βασιλείας σου ἀξίωσον λόγε, τοὺς εἰλικρινεῖ καρδίᾳ ὁμολογοῦντας δέσποτα τὴν θείαν σου σάρκωσιν.

Τὸ στερέωμα τῶν προστρεχόντων ἐπὶ σοὶ Χριστὲ ὁ Θεὸς, τὴν ἐμὴν διάνοιαν στήριξον τῇ σῇ φιλανθρωπίᾳ, καὶ πρὸς γνῶσιν ἐπανάγαγε, τῶν ἐντολῶν σου παντοδύναμε.

Φιλάνθρωπος ὑπάρχεις σωτὴρ σὺ ἡμῶν, καὶ δίκαιος μόνος.

## ὨΔΗ Δʹ. ἮΧΟΣ πλ. Αʹ.

Τὴν θείαν ἐννοήσας σου κένωσιν, προβλεπτικῶς ὁ Ἀββακοὺμ, Χριστὲ ἐν τρόμῳ ἐβόα σοι, εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς Χριστούς σου ἐλήλυθας.

Τῆς ἀναλήψεως.

Εἰσακήκοα τὴν ἀκοὴν τῆς δυναστείας τοῦ σταυροῦ, ὡς Παράδεισος ἠνοίγη δι' αὐτοῦ, καὶ ἐβόησα, δόξα τῇ δυνάμει σου Κύριε.

Τῆς Ὀκτωήχου.

Τὰ ἔργα τῆς οἰκονομίας σου Κύριε, ἐξέστησαν τὸν Προφήτην Ἀββακοὺμ, ἐξῆλθες γὰρ εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς Χριστούς σου ἐλήλυθας.

Ἀκήκοα Κύριε τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, κατενόησα τὴν οἰκονομίαν σου, καὶ ἐδόξασά σε μόνε φιλάνθρωπε.

Εἰσακήκοα τὴν ἀκοὴν τῆς δυναστείας τοῦ Κυρίου, καὶ ἐδόξασα φιλάνθρωπε, τὴν ἀκατάληπτόν σου δύναμιν.

Εἰσακήκοα Κύριε τὴν ἐκ τάφου σου ἔγερσιν, καὶ ἐδόξασά σου τὴν ἀήττητον δύναμιν.

Τὸ θεῖον τῆς ἐπιφανείας σου κάλλος ὁ Προφήτης προκατιδὼν, καὶ τὴν συγκατάβασιν ἐξιστάμενος τῆς σαρκώσεως Χριστοῦ προανεφώνησεν, ἀπὸ Θαιμὰν ἥξει ὁ Κύριος, ἱλασμὸν τῷ κόσμῳ δωρούμενος.

Τὴν ἐξ ὄρους δασέως σου ἔλευσιν, ἀκηκοὼς ὁ Προφήτης ἐβόα, δόξα τῇ ἀφράστῳ σαρκώσει σου.

Ὁ Προφήτης Ἀββακοὺμ, προορῶν σε Χριστὲ δι' χαριστῷ τῇ φωνῇ, ἀνεκήρυττε βοῶν, τὴν ἀκοήν σου ἀκήκοα, καὶ ἐφοβήθην, τὰ ἔργα σου πάντα κατενόησα, καὶ ἐξέστην Κύριε.

Τῆς οἰκονομίας σου τὸ μυστήριον κατανοήσας Ἀββα-

κοὺμ,

κὸμ, μυστικῶς τὴν ἔλευσιν τῆς παρουσίας σου διαγράφων ἀνέκραζεν, ἐν τῷ παρεῖναι τὸν καιρὸν Κύριε ἀναδειχθήσῃ.

## ΩΔΗ Ε'. ΗΧΟΣ πλ. Α'.

Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, πρὸς σὲ ὀρθρίζω, καὶ σοὶ κραυγάζω, τὴν ψυχήν μου φώτισον, τὴν ἐσκοτισμένην, Χριστὲ ὡς μόνος εὔσπλαγχνος.

Τῆς Ἀναλήψεως.

Ὀρθρίζοντες βοῶμεν σοι Κύριε σῶσον ἡμᾶς, σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν.

Τῆς Ὀκτωήχου.

Τοὺς ἐκ νυκτὸς προσκυνοῦντάς σε Χριστὲ, ἐλέησον, καὶ εἰρήνην δώρησαι, διότι φῶς, ἃ τὰ σὰ προστάγματα, ἐγένοντο ἰάματα τοῖς δούλοις φιλάνθρωπε.

Τὸ φῶς τὸ ἀληθινὸν Χριστὲ ὁ Θεὸς, πρὸς σὲ ὀρθρίζει τὸ πνεῦμά μου ἐκ νυκτὸς, ἐπίφανον ἐπ' ἐμὲ τὸ πρόσωπόν σου.

Τὴν τάλαιναν ψυχήν μου νυκτομαχοῦσαν τῷ σκότει τῶν παθῶν, προφθάσας οἴκτειρον, καὶ λάμψον νοητὲ ἥλιε, ἡμεροφαεῖς ἀστέρας ἐν ἐμοὶ, τοῦ διατμῆξαι τὴν νύκτα τοῦ φωτός.

Δικαιοσύνης ἥλιε νοητὲ, φώτισόν με νυκτὶ τῶν παθῶν καταχεθέντα, καὶ ὁδήγησον πρὸς θείαν τρίβον, ὅτι μόνος εἶ τῆς εἰρήνης Βασιλεύς.

Οὐ πιςούμεθα ἀλλ' ὁ πεσοῦνται εἰς πτῶσιν, οἱ τῆς εἰκόνος Θεοτόκε ὑβρισαὶ, ἀρθήτωσαν μέσον ἡμῶν, ἵνα μὴ ἴδωσι τὴν δόξαν σου ἀθονταίνοντες, διότι φῶς καὶ εἰρήνη τοῦ σοῦ ὑπὲρ τὰ προσάγματα.

Κύριε ὁ Θεὸς ἡμῶν ῥῦσαι ἡμᾶς, Κύριε ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν, λάμψον ἐπὶ πάντας τὸ φῶς σου.

Δικαιοσύνην μάθετε, οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς, καὶ νοῦν καθάρωμεν διεγηγερμένῃ καρδίᾳ, πρὸς τὸν οἰκτίρμονα Θεὸν, ἐκ νυκτὸς ὀρθρίζοντες.

Τὸ φῶς τὸ ἀπρόσιτον Χριστὲ, τὴν ζωὴν τὴν αἰώνιον, ἐκ νυκτὸς ὀρθρίζοντες ὑμνοῦμέν σε, τὸν μόνον φωτοδότην Θεόν.

Ἀνάτειλον Χριστὲ ὁ Θεὸς, τὸ φῶς τῆς γνώσεώς σου, καὶ φώτισον τὰς καρδίας ἡμῶν, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

## ΩΔΗ ϛ'. ΗΧΟΣ πλ. Α'.

Μαινομένῳ κλύδωνι, ψυχοφθόρῳ δέσποτα Χριστὲ, τῶν παθῶν τὴν θάλασσαν κατεύνασον, καὶ ἐκ φθορᾶς ἀνάγαγέ με ὡς εὔσπλαγχνος.

Τῆς Ἀναλήψεως.

Ἐκύκλωσέ με ἄβυσσος, ταφή μοι τὸ κῆτος ἐγένετο, ἐγὼ δὲ ἐβόησα πρὸς σὲ τὸν φιλάνθρωπον, καὶ ἔσωσέ με ἡ δεξιά σου Κύριε.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τοῦ κήτους τὸν Προφήτην, ἐμὲ δὲ ἐκ βυθοῦ τῶν ἀμαρτημάτων ἀνάγαγε Κύριε, καὶ σῶσόν με.

Ὡς τὸν Προφήτην τοῦ θηρὸς ἐῤῥύσω Κύριε, κἀμὲ τοῦ βυθοῦ τῶν ἀκαθέκτων παθῶν, ἀνάγαγε δέομαι, ἵνα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου.

Ζάλη κατέσχε με σωτὴρ ἁμαρτημάτων, καὶ ψυχῆς με κατάγει ψυχοφθόρου βόθρῳ, ἀλλ᾽ ὡς τὸν πάλαι Ἰωνᾶν Χριστὲ ἀνάγαγε, ὅπως θύσωσοι κἀγὼ μετὰ φωνῆς αἰνέσεως.

Ἐκ κοιλίας ᾅδου κραυγῆς μου, ἤκουσας φωνῆς μου, καὶ ἐῤῥύσω ἐκ φθορᾶς τὴν ζωήν μου πολυέλεε.

Ἐβόησεν ἐκ τῶν ἐσχάτων ὁ Ἀδάμ, ὁ Θεός μου ῥῦσαί με τὸν παραπεσόντα, καὶ ὁμοιωθεὶς ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.

Εἰς βάθη ἀπεῤῥίμμαι θαλάσσης, ἐκ τῶν ἀναγκῶν μου ῥῦσαί με, ὥσπερ ἐκ τοῦ κήτους ἀνήγαγες τὸν Προφήτην Ἰωνᾶν, οὕτω κἀμὲ δέομαι προφθάσας διάσωσον, ἐκ τῶν τοῦ βίου κακῶν.

Κήτους γαστέρα ὑποδὺς ὁ Ἰωνᾶς, οὐκ ἐφθάρη δέσποτα τῷ σῷ προστάγματι, ἀλλὰ προτύπωσις γέγονε, τῆς τριημέρου ταφῆς σου, διόσοι ἐκραύγαζον, ἀνάβητω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σὲ Κύριε.

Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου πρὸς τὸν οἰκτίρμονα

Θεὸν,

Θεὸν, καὶ ἐπήνεσέ με ἐξ ἅδου κατωτάτου, καὶ ἀνήγαγεν ἐκ φθορᾶς τὴν ζωήν μου.

## ΩΔΗ Η'. ΗΧΟΣ πλ. Α'.

Ὁ ὑπερυψούμενος τῶν Πατέρων Κύριος, τὴν φλόγα κατέσβεσε, τοὺς παῖδας ἐδρόσισε, συμφώνως μελῳδοῦντας, ὁ Θεὸς εὐλογητὸς εἶ.

Τῆς ἀναλήψεως.

Ὁ ἐν καμίνῳ πυρὸς, τοὺς ὑμνολόγους σώσας παῖδας, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τῆς Ὀκτωήχου.

Πυρὸς σβεστήριον τῶν παίδων ἡ προσευχὴ, δροσίζουσα κάμινος, κήρυξ τοῦ θαύματος, μὴ φλογίζουσα, μὴ δὲ συγκαίουσα, τοὺς ὑμνολόγους Θεοῦ, τῶν Πατέρων ἡμῶν.

Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ βλέπων ἀβύσσους, καὶ ἐπὶ θρόνου δόξης καθήμενος, ὁ ὑπερύμνητος καὶ ὑπερένδοξος.

Ὁ τὴν κάμινον σβέσας, ἐν Βαβυλῶνι τοῦ πυρὸς, καὶ τοὺς παῖδας ἐν αὐτῇ, ὡς ἐν θαλάμῳ φυλάξας, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Αἰνετὸν ὑπάρχει, καὶ δεδοξασμένον τὸ ὄνομά σου Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, εἰς πάντας τοὺς αἰῶνας, καὶ δεδοξασμένος, ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὁ τοὺς παῖδας ἐν καμίνῳ δι᾽ Ἀγγέλου φυλάξας, προμηνύων δι᾽ αὐτῆς τὴν τεκοῦσάν σε ἄφθορον παρθένον, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Δροσουμένη κάμινος, καὶ θυμὸς τυραννικὸς, τοὺς εὐσεβεῖς οὐκ ἐπτόησε παῖδας, θαρσαλέως βοῶντας, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὑπερύμνητος εἰς τοὺς αἰῶνας.

Ὁ δι᾽ Ἀγγέλου τοὺς παῖδας διασώσας, καὶ τὴν βροντῶσαν κάμινον μεταβαλὼν εἰς δρόσον, εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

## ᾨΔΗ Η΄. ΗΧΟΣ πλ. Α΄.

Σοὶ τῷ παντουργῷ ἐν τῇ καμίνῳ παῖδες, παγκόσμιον πλέξαντες, χορείαν ἔμελπον, πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Τῆς Ἀναλήψεως.

Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων γεννηθέντα υἱὸν, καὶ Θεὸν, καὶ ἐπ᾽ ἐσχάτων τῶν χρόνων, σαρκωθέντα ἐκ παρθένου Μητρὸς, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Ὀκτωήχου.

Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων, γεννηθέντα υἱὸν καὶ Θεὸν, καὶ ἐπ᾽ ἐσχάτων τῶν χρόνων, σαρκωθέντα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκ παρθένου Μητρὸς, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπε-
ρυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ποιητὴν τῆς κτίσεως, ἐν φρίττουσιν ἄγγελοι, ὑμνεῖτε λαοὶ, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἀγγέλων σύστημα, ἀνθρώπων σύλλογος, τὸν Βασιλέα, καὶ κτίστην τοῦ παντὸς, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν τοῦ παντὸς δημιουργὸν, καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Οἱ ὅσιοί σου παῖδες ἐν τῇ καμίνῳ Χριστὲ, ἀνυμνοῦντες ἔλεγον, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὸ πατρικὸν δόγμα φρονοῦντες, νέοι τρεῖς ἐν Βαβυλῶνι, ἀθέῳ προστάγματι εὐσεβῶς μὴ πειθόμενοι, καταδίκης μέσον πυρὸς ἑστῶτες ἐβόων, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τῷ δημιουργῷ τῶν ἁπάντων, θεοφόροι παῖδες ἐν καμίνῳ, τὸν ὕμνον προσήγαγον, καὶ ὑμνοῦντες ἐβόων, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύ.

Τὸν δροσίσαντα τὴν κάμινον, καὶ παῖδας φυλάξαντα ἐν μέσῳ καιομένης φλογὸς, παῖδες δοξολογεῖτε, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸν ἐκ Πατρὸς γεννηθέντα, πρὸ αἰώνων Θεὸν λόγον, ὑμνεῖτε ἱερεῖς, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν Βασιλέα Χριστὸν, ὃν ὑμνεῖ τὰ Χερουβὶμ, καὶ δοξάζει τὰ Σεραφὶμ, ὑμνεῖτε λαοὶ, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Πάντα τὰ ἔργα τοῦ Θεοῦ, καὶ πᾶσα κτίσις εὐλογεῖτε τὸν Κύριον.

Σὲ τὸν ποιητὴν, καὶ μεθιστῶντα φύσιν, καὶ τὴν ἄμετρον φλόγα δροσίσαντα, ὑμνοῦμεν ὑπερένδοξε, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Δροσουμένη κάμινος, καὶ θυμὸς τυραννικὸς, τοὺς εὐσεβεῖς οὐκ ἐπτόησε παῖδας, θαρσαλέως βοῶντας, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τῆς Τριάδος τὴν δόξαν, θεοσεβεῖς τυπώσαντες παῖδες, κάμινον πάλαι πυρὶ φλεγομένην, εἰς δρόσον μετέβαλλον, καὶ ὑμνοῦντες ἔψαλλον, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ τοὺς παῖδας ἐν καμίνῳ δι' Ἀγγέλων σου φυλάξας, προμηνύων δι' αὐτῶν τὴν τεκοῦσαν σε ἄφθορον παρθένον, εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΩʼΔΗʼ Θʹ. ΗʼΧΟΣ. πλ.Αʹ.

Ἡσαΐα χόρευε, ἡ παρθένος ἔσχεν ἐν γαστρὶ, καὶ ἔτεκεν υἱὸν τὸν Ἐμμανουὴλ, Θεόν τε καὶ ἄνθρωπον, ἀνατολὴ ὄνομα αὐτοῦ, ὃν μεγαλύνοντες τὴν παρθένον μακαρίζομεν.

Τῆς ἀναλήψεως.

Σὲ τὴν ὑπὲρ νοῦν, καὶ λόγον μητέρα Θεοῦ, τὴν ἐν χρόνῳ τὸν ἄχρονον, ἀφράστως κυήσασαν, οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν.

Τῆς Ὀκτωήχου.

Σὲ τὴν μακαρίαν ἐν γυναιξὶ, καὶ εὐλογημένην ὑπὸ Θεοῦ, τῶν ἀνθρώπων τὸ γένος ἐν ὕμνοις μεγαλύνομεν.

Ὅτι ἐποίησέ σοι μεγαλεῖα ὁ δυνατὸς, παρθένον ἀναδείξας σε ἁγνὴν μετὰ τὴν κύησιν, ὡς τεκοῦσαν ἀσπόρως τὸν ἑαυτῆς ποιητὴν, διό σε Θεοτόκε μεγαλύνομεν.

Μεγαλύνομέν Χριστὲ, τὴν σὴν πανάμωμον Μητέρα ἁγνὴν, ὅτι ἔτεκέ σε ὑπερφυῶς κατὰ σάρκα, πάσης πλάνης καὶ καταφθορᾶς, ἡμᾶς ἐκλυτρούμενος.

Ἡ γαστήρ σου ὤφθη πλατυτέρα τῶν οὐρανῶν, καὶ ἐνδοξοτέρα μόνη ἐδείχθης, θαυμαστὸν γὰρ ὑπερτέρα μόνη ἐδείχθης, Θεοτόκε τεκοῦσα τὸν ἀχώρητον καὶ ἀΐδιον

Θεὸν, καταξίως σὲ βροτῶν τὸ γένος ἀπαύστως μεγαλύνομεν.

Ὢ θαῦμα καὶ γὰρ θαῦμα, τὸ τελούμενον ἐν σοὶ Θεοτόκε, καινοτομεῖται φύσις, ὁ Θεὸς ἄνθρωπος γίνεται, ὃν ἐν δυσὶ ταῖς φύσεσι, θεολογοῦντες μεγαλύνομεν.

Σὲ τὴν τοῦ Θεοῦ Μητέρα, καὶ παρθένον ἁγνήν, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέραν, ἐν φωναῖς ἀσμάτων μεγαλύνομεν.

Ῥάβδος βλαστήσασα Δαυϊτικῆς, ἐκ ῥίζης Θεοτόκε πανύμνητε, ἄνθος ὡραιότατον ἡμῖν ἀνέτειλας, τῆς ἀρχαίας πρόξενον μακαριότητος. διόσε πάντες ἐν ὕμνοις μεγαλύνομεν.

Σὲ τὴν δούλην, καὶ Μητέρα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Θεοτόκε, ἐπαξίως μεγαλύνομεν.

Σὲ τὴν ἀφράστῳ λόγῳ, τὸν κτίστην συλλαβοῦσαν ἐν γαστρί· χαρὰν γὰρ τεκοῦσα ζωὴν πᾶσιν ἐδωρήσω παμμακάριστε.

Σὲ τὴν ἀπείρανδρον νύμφην, καὶ Μητέρα τοῦ λόγου, τὴν ἁγίαν παρθένον μεγαλύνομεν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΑΡΧΗ ΤΩΝ ΕΙΡΜΩΝ
## Τȣ πλαγίȣ Β΄. ἤχου.

### ΩΔΗ Α΄. ΗΧΟΣ πλαγίȣ Β΄.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ, ἐν ἀβύσσῳ ἴχνεσι, τὸν διώκτην Φαραὼ, καθορῶν ποντούμενον Θεῷ, ἐπινίκιον ᾠδὴν, ἐβόα ἄσωμεν.

Τῇ μεγάλῃ πέμπτῃ.

Τμηθεὶς τμᾶται, πόντος ἐρυθρὸς, κυματοτρόφος δὲ ξηραίνεται βυθὸς, ὁ αὐτὸς ὁμȣ̃ ἀόπλοις γεγονὼς βατὸς, καὶ πανοπλίταις τάφος, ᾠδὴ δὲ θεοτερπὴς ἀνεμέλπετο. ἐνδόξως δεδόξασαι Χριστὸς ὁ Θεὸς ἡμῶν.

Τȣ̃ μεγάλȣ Σαββάτȣ.

Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι, διώκτην τύραννον, ὑπὸ γῆν ἔκρυψαν, τῶν σεσωσμένων οἱ παῖδες, ἀλλ' ἡμεῖς ὡς αἱ νεάνιδες, τῷ Κυρίῳ ἄσωμεν ἐνδόξως γὰρ δεδόξασαι.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὁ αἰθηπὸς Φαραώ, κατεποντίσθη πανστρατί, Ἰσραὴλ δὲ διελθὼν ἐν μέσῳ τῆς θαλάσσης, ἀνεβόα Κυρίῳ τῷ Θεῷ ἡμῶν ἄσωμεν, ὅτι δεδόξασται.

Βοηθὸς καὶ σκεπαστὴς, ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτὸν, Θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτὸν, ἐνδόξως γὰρ δεδόξασται

Ἄσωμεν τῷ Κυρίῳ, τῷ ἐκ δουλείας τὸν Ἰσραὴλ ἐλευθερώσαντι τῶν Αἰγυπτίων, διὰ Μωϋσέως, ὕμνον ἀπαύστως Χριστῷ τῷ Βασιλεῖ, καὶ Θεῷ ἡμῶν.

Αἰγυπτία μὲν χειρὶ, τὸν Ἰσραὴλ τυραννοῦσα ἐν τῇ θαλάσσῃ, ᾤχετο δυνάμει τοῦ σταυροῦ, Ἰσραὴλ δὲ ᾠδὴν ἀνέμελπε, τῷ λυτρωτῇ, καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Διελθόντες τὴν θάλασσαν οἱ υἱοὶ Ἰσραὴλ, καὶ καθορῶντες τὸν Φαραὼ βυθισθέντα, ἐν αὐτῇ διαχαρίστως ἔψαλλον, τῷ Κυρίῳ ἄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Ἐπαιρομένην θάλασσαν, ἀβρόχοις τοῖς ποσὶ, διαπερῶν ὁ πάλαι Ἰσραὴλ, ὡς ἑώρα ποντούμενον, τὸν ἀλαζόνα Φαραὼ, Χαρμονικῶς ἀνεκραύγαζεν, ἄσωμεν τῷ Κυρίῳ τῷ ποιήσαντι παράδοξα τέρατα.

Ἄρματα Φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ ἐν ὑψηλῷ

βρα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βραχίονι, Χριςὸς κατεπόντισε. καὶ Ἰσραὴλ διέσωσεν, ᾆσμα ἀναπέμποντα τῷ θαυμαςῷ θεῷ ἡμῶν ᾄσωμεν.

## ΩʼΔΗʼ Βʹ. ΗʼΧΟΣ. πλ. Βʹ.

Πρόσεχε οὐρανὲ, καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριςὸν τὸν ἐκ παρθένου σαρκὶ ἐπιδημήσαντα.
Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς, ὁ μάννα ἐπομβρήσας, καὶ τὸ ὕδωρ ἐκ πέτρας πηγάσας πάλαι ἐν ἐρήμῳ τῷ λαῷ μου, τῇ μόνῃ δεξιᾷ, καὶ τῇ ἰσχύϊ τῇ ἐμῇ.

## ΩʼΔΗʼ Γʹ. ΗʼΧΟΣ. πλ. Βʹ.

Οὐκ ἔςιν ἅγιος ὡς σὺ, κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιςῶν σου ἀγαθὲ, καὶ ςερεώσας ἡμᾶς ἐν τῇ πέτρᾳ τῆς ὁμολογίας σου.

Τῇ μεγάλῃ Πέμπτῃ.

Κτίςης ὢς πάντων, καὶ κτίςης θεὸς, τὸ κτιςὸν ὁ ἀπαθὴς πτωχεύσας ἑαυτῷ ἥνωσε, καὶ τὸ Πάσχα οἷς ἔμελλε θανεῖν, αὐτὸς ὢν ἑαυτὸν προετίθει, φάγετε βοῶν τὸ σῶμά μου, καὶ πίςει ςερεωθήσεσθε.

Τοῦ μεγάλου Σαββάτου.

Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀχίτως, ἡ κτίσις κατιδοῦσα ἐν τῷ κρανίῳ κρεμάμενον, θάμβει πολλῷ συνείχετο. οὐκ ἔστιν ἅγιος, πλὴν σοῦ Κύριε κραυγάζουσα.

Τῆς Ὀκτωήχου.

Ἐν τῇ στερρᾷ τῆς πίστεως σου πέτρᾳ, τὸν λογισμὸν ἑδράσας τῆς ψυχῆς μου, στερέωσον Κύριε. σὲ γὰρ ἔχω ἀγαθέ, καταφυγὴν καὶ στερέωμα.

Στερέωσον Κύριε, ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου, σαλευθεῖσαν τὴν καρδίαν μου. ὅτι μόνος ἅγιος, ὑπάρχεις, καὶ Κύριος.

Ἐπὶ τὴν ἀσάλευτον Χριστέ, πέτραν τῶν ἐντολῶν σου, στερέωσόν μου τὴν διάνοιαν.

Στερέωσον καὶ τὴν Ἐκκλησίαν σου, ὁ ἐν συνέσει μετεωρήσας τοὺς οὐρανοὺς, εἰς τὸ ὑμνεῖν τὴν ἄχραντον οἰκονομίαν σου φιλάνθρωπε.

Κύριε σωτήρ μου, καὶ κτιστὰ Θεὲ τῶν ὅλων, ὁ τὴν γῆν ἐπ' οὐδενὸς προστάξει, καταρχὰς βρίθουσαν στερεώσας, στερέωσον κἀμὲ τῇ πίστει, τοῦ βοᾶν σοι ἐν εὐφροσύνῃ, σύ μου ἰσχὺς, καὶ δύναμις, ὅπλον καὶ καταφύγιον.

Στερέωσόν με Χριστέ, καὶ βεβαίωσόν με ἐν σοί, ἐν τῷ φωτισμῷ τῆς γνώσεώς σου δίδαξόν με.

Ἐπλατύνθη ἐπ' ἐχθροὺς μου τὸ στόμα μου, ὅτι ἐστερεώθη ἐν Κυρίῳ ἡ καρδία μου.

Ἐν στέρνοις καρδίας, καὶ ψυχῆς μου κράζω σοι, ὡς ἡ

Προ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Προφήτης Ἄννα, ὡς ἐκείνη δέδωκας δι' εὐχῆς τὸν Σαμουὴλ, κἀμοὶ δώρησαι Κύριε καρπὸν μετανοίας.

Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ὅτι ἐπέστη ὁ λυτρωτής μου καὶ Θεὸς, ἐκ δαιμόνων πλάνης λυτρούμενος.

Τὴν ἀπόρρητόν σου δύναμιν, καὶ συνεκτικὴν τῶν ἁπάντων σοφίαν σου, φρίττω ἐννοῶν, καὶ βοῶσοι ἀγαθὲ, κατ' ἐχθρῶν ὑψωθήτω Χριστὲ τὸ κέρας μου.

ΩΔΗ. Δ'. ΗΧΟΣ. πλ. Β'.

Χριστός μου δύναμις, Θεὸς καὶ κύριος, ἡ σεπτὴ Ἐκκλησία θεοπρεπῶς, μέλπει ἀνακράζουσα, ἐκ διανοίας καθαρᾶς, ἐν Κυρίῳ ἑορτάζουσα.

Τῇ μεγάλῃ πέμπτῃ.

Προκατιδὼν ὁ Προφήτης, τοῦ μυστηρίου σου τὸ ἀπόρρητον, Χριστὲ προανεφώνησεν, ἔθου κραταιὰν ἀγάπησιν ἰσχύος, Πάτερ οἰκτίρμον, τὸν μονογενῆ υἱὸν γὰρ ἀγαθὲ, ἱλασμὸν εἰς τὸν κόσμον ἀπέστειλας.

Τοῦ μεγάλου Σαββάτου.

Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν, προορῶν Ἀββακοὺμ ἐξεστηκὼς ἐβόα, σὺ δυναστῶν διέκοψας κράτος ἀγαθὲ, ὁμιλῶν τοῖς ἐν ᾅδῃ ὡς παντοδύναμος.

Τῆς Ὀκτωήχου.

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου Χριστὲ, καὶ τῆς σῆς αἰνέσεως Κύριε, τὰ πάντα πεπλήρωται.

Ἀκηκοὼς τὰ προστάγματα, παρειδὼν Κύριε, καὶ τὴν ὁδόν σου μὴ φυλάξας τεθανάτωμαι. αὐτός με ἀνάστησον Σωτὴρ ἡ ἐλπίς μου, ἐμὲ πτωχεύσας σάρκα βροτείαν λαβών.

Εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην Κύριε.

Ἀκήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην, δόξα τῇ δυνάμει σου Κύριε.

Ἀκήκοεν ὁ Προφήτης τὴν ἔλευσίν σου Κύριε, καὶ ἐφοβήθη. ὅτι μέλλεις ἐκ παρθένου τίκτεσθαι, καὶ ἀνθρώποις δείκνυσθαι, καὶ ἔλεγεν, ἀκήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. δόξα τῇ δυνάμει σου Κύριε.

Ἀνεκαίνισας τὸ κάλλος τῆς σῆς εἰκόνος. πρὸς γὰρ ταύτην ἐκ πατρώων κατελήλυθας κόλπων. καὶ βοῶμεν σοι, δόξα τῇ δυνάμει σου φιλάνθρωπε.

Τῆς σῆς ἀῤῥήτου σαρκώσεως, λυτρωτὰ τοῦ παντὸς, ὁ Προφήτης Ἀββακοὺμ, καθαρθεὶς πνεύματι τὸ μυστήριον, ἐξεστηκὼς ἐβόα. ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσεται, ὁ ἀμήτωρ ἐκ Πατρὸς, ἐπ' ἐσχάτων τῶν χρόνων σαρκούμενος.

Ἀναβήσομαι εἰς ὕψος αἰνέσεώς σου, καὶ λαὸν περιούσιον εὐαγγελίσομαι, ἀνάπαυσιν ἐκ καταδίκης τῆς βρώσεως, ὁ Προφήτης ἔλεγεν. ὁ γὰρ λόγος παχυνθεὶς, ἐκ παρθένου ἡμῖν ἐπέφανεν.

## Ω'ΔΗ' Ε'. Η'ΧΟΣ πλ. Β'.

Τῷ θείῳ φέγγει σου ἀγαθὲ, τὰς τῶν ὀρθριζόντων σοι ψυχὰς πόθῳ καταύγασον δέομαι, σὲ εἰδέναι λόγε Θεοῦ, τὸν ὄντως Θεὸν, ἐκ ζόφου τῶν πταισμάτων ἀνακαλούμενον.

Τῇ μεγάλῃ πέμπτῃ.

Τῷ συνδέσμῳ τῆς ἀγάπης, συνδιόμενοι οἱ Α'πόστολοι, τῷ δεσπόζοντι τῶν ὅλων ἑαυτοὺς Χριστῷ ἀναθέμενοι, ὡραίους πόδας ἐξαπενίζοντο, διαγγελιζόμενοι πᾶσιν εἰρήνην.

Τῇ μεγάλῃ Παρασκευῇ, Ω'ΔΗ' Ε'.

Πρὸς σὲ ὀρθρίζω, τὸν δι' εὐσπλαγχνίαν, σεαυτὸν τῷ πεσόντι κενώσαντα ἀτρέπτως, καὶ μέχρι παθῶν ἀπαθῶς ὑποκύψαντα λόγε Θεοῦ, τὴν εἰρήνην παράσχου μοι φιλάνθρωπε.

Τοῦ μεγάλου Σαββάτου.

Θεοφανείας σου Χριστὲ, τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης, Η'σαΐας φῶς ἰδὼν ἀνέσπερον, ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν, ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ πάντες οἱ γηγενεῖς ἀγαλλιάσονται.

Τῆς Ο'κτωήχου.

Ο' τὸ φῶς ἀνατέλλων τῷ κόσμῳ Χριστὲ, Φώτισον τὴν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καρδίαν μου, ἐκ νυκτὸς σοι κραυγάζοντα, καὶ σῶσόν με.

Σοὶ πέποιθα Κύριε, καὶ πρὸς σὲ ὀρθρίζω τὸ ὑπέρθεον κάλλος, τὴν ψυχήν μου εὔφρανον, ἐν τῷ φωτὶ τῆς θεογνωσίας σου, καὶ σῶσόν με.

Προβλεπτικῶς Ἠσαΐας, κατανοῶν τὴν ἄσπορον κύησιν, τὴν τῆς παρθένου ἔκραζεν, ἰδοὺ ἐν γαστρὶ λήψεται, παρθένος τεκοῦσα λόγον, τὸν μονογενῆ υἱόν τε τοῦ Πατρὸς, τὸν σὺν Πνεύματι θείῳ δοξολογούμενον.

Ἐκ νυκτὸς τὴν ᾠδὴν ἀναπέμπομέν σοι, ἀντικατάπεμψον ἡμῖν τὸ ἔλεος σου Κύριε. σὺ γὰρ εἶ θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Ἐκ νυκτὸς ὀρθρίζοντα φιλάνθρωπε, φώτισον δέομαι, καὶ ὁδήγησον κἀμὲ ἐν τοῖς προστάγμασί σου, καὶ δίδαξόν με σωτὴρ ποιεῖν τὸ θέλημά σου.

Τὸ φῶς καὶ τὴν εἰρήνην σου Χριστὲ, τοῖς δούλοις σου παράσχου ἀγαθὲ, σὺ γὰρ πέλεις πάντων εἰρήνη, καὶ σύνδεσμος ἀγάπης φιλάνθρωπε, τοῖς σὲ ἐγνωκόσιν ὄρθρον φαεινὸν, τὸν δεσπότην ὄντως καὶ Κύριον.

Σκοτομήνη σε ψυχή μου κατέλαβε, τῶν ἀθέσμων πράξεων, ὧν εἰργάσω ἐν τῷ βίῳ τούτῳ ἀλλὰ μὴ παύσῃ κραυγάζουσα, ὁδηγὲ τοῦ φωτὸς, καὶ λυτρωτὰ τοῦ παντὸς, τὴν ἐσκοτισμένην ψυχήν μου φωταγώγησον, πρὸς φῶς τὸ ἀνέσπερον.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἔθετο ἐπὶ βημάτων μου ἀχλὺν, ὁ παγκάκιστος ἐχθρὸς Κύριε, ἀλλὰ σὺ καταύγασον φωτοδότα λόγε, καὶ τὸ τούτου με ῥῦσαι καταπτώσεως.

## ΩΔΗ. ς΄. ΗΧΟΣ. πλ. Β΄.

Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμὼν, βοῶ σοι ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου πολυέλεε.

Τῇ μεγάλῃ Πέμπτῃ.

Ἄβυσσος ἐσχάτη ἁμαρτημάτων ἐκύκλωσέ με, καὶ τὸν κλύδωνα μηκέτι φέρων, ὡς Ἰωνᾶς τῷ δεσπότῃ βοῶ σοι, ἐκ φθορᾶς με ἀνάγαγε.

Τῷ μεγάλῳ Σαββάτῳ.

Συνεσχέθη, ἀλλ᾽ οὐ κατεσχέθη, στέρνοις κητῴοις Ἰωνᾶς. σοῦ γὰρ τὸν τύπον φέρων, τοῦ παθόντος καὶ ταφῇ δοθέντος, ὡς ἐκ θαλάμου τοῦ θηρὸς ἀνέθορε. προσεφώνει δὲ τῇ κουστωδίᾳ, οἱ φυλασσόμενοι μάταια, καὶ ψευδῆ, ἔλεον αὐτοῖς ἐγκατελίπατε.

Τῷ κήτει καταποθεὶς, τῷ τῆς ἁμαρτίας, κραυγάζω σοι Χριστὲ, ὡς τὸν Προφήτην ἐκ φθορᾶς με ἐλευθέρωσον.

Περιεκύκλωσέ με ἄβυσσος ἐσχάτη τῆς ἁμαρτίας, καταπέπτωκέ με πλῆθος τῶν κακῶν μου, καὶ στένων

βοῶ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βοᾷ σοι, ὁ Θεός μου ὡς τὸν Προφήτην Ἰωνᾶν, λύτρωσαι πολυέλεε.

Τῷ κήτει συνεχόμενος τῶν πταισμάτων, βοῶ σοι Χριστέ μου σὺν τῷ Προφήτῃ, ἀνάγαγε ἐκ φθορᾶς, τὴν ζωήν μου καὶ διάσωσόν με.

Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου, πρὸς τὸν οἰκτίρμονα Θεὸν, καὶ ἐπήκουσέ μου ἐξ ᾅδου κατωτάτου, καὶ ἀνήγαγεν ἐκ φθορᾶς τὴν ζωήν μου.

Ἀνεκφράστοις, καὶ βαθείαις θλίψεσιν κείμενος ὁ λαός σου κύριε, κραυγάζει σοι δέσποτα, ἀνάγαγε τὴν ζωήν μου ἐκ φθορᾶς, ὁ δείξας τὴν ἀνάστασιν.

Θηρὶ ἀβύσσῳ παραδίδοται, ὁ Προφήτης Ἰωνᾶς, μυχοῖς θαλάσσης, προτυπῶν σου λόγε. τὴν τριήμερον ἔγερσιν. διὸ καὶ ἀνεβόα, ἐκ βυθοῦ κατωτάτου, ἀνάγαγε τὴν ζωήν μου εὔσπλαγχνε.

## ᾨΔῊ Ζ΄. ἮΧΟΣ πλ. Β΄.

Δροσοβόλον μὲν τὴν κάμινον, εἰργάσατο ἄγγελος τοῖς ὁσίοις παισί τοὺς Χαλδαίους δὲ καταφλέγον πρόσταγμα Θεοῦ, τὸν τύραννον ἔπεισε βοᾶν, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τῇ μεγάλῃ πέμπτῃ.

Οἱ παῖδες ἐν Βαβυλῶνι, καμίνου φλόγα οὐκ ἔπτηξαν, ἀλλ' ἐν μέσῳ φλογὸς ἐμβληθέντες, δροσιζόμενοι



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μενοι ἔψαλλον. εὐλογητὸς εἶ κύριε ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τοῦ μεγάλου Σαββάτου.

Ἄφραστον θαῦμα, ὁ ἐν καμίνῳ ῥυσάμενος, τοὺς ὁσίους παῖδας ἐκ φλογὸς, ἐν τάφῳ νεκρὸς, ἄπνους κατατίθεται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων, λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Τῆς Ὀκτωήχου.

Ὁ τῶν ὁσίων σου παίδων, τὸν ὕμνον ἐπακούσας, καὶ τὴν κάμινον καιομένην δροσίσας, εὐλογητὸς εἶ κύριε ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Οἱ εὐτάλαντοι, καὶ θεοκερδέστατοι ἔμποροι, τῷ σῷ ἔρωτι ἀφειδήσαντες Χριστὲ σωμάτων, σὲ τὸν ἄχραντον κατεκτήσαντο. ἀπαθῶς δὲ τὴν φλόγα πατοῦντες, εὐχαρίστως ἔψαλλον, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν,

Ὁ τῶν ὁσίων σου παίδων, τὴν προσευχὴν ἐπακούσας, καὶ τὴν κάμινον καιομένην δροσίσας, εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Σὺ τοὺς παῖδας ἐν καμίνῳ ζωοδότα, δι' Ἀγγέλου ἐδρόσισας λέγοντας, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἐπεφάνη ἐφ' ἡμᾶς ἡ χάρις τοῦ σωτῆρος, καὶ τὸ φῶς τοῦ σταυροῦ σου κατέλαμψε τῷ κόσμῳ. εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν σου, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν, ἀλλὰ μὴ παραδώῃς ἡμᾶς εἰς τέλος, ὁ τῶν Πατέρων Θεός.

Τοὺς τρεῖς νεανίας, οὐκ ἐφλόγισε πάλαι κορυφωθεῖσα ἡ φλόξ, ἀφειδῶς δὲ ὁ καύσων, πρὸς φθορὰν ἀπέθετο. ἀλλ' ὡς ἐκείνους ἐρρύσω ἐλλάμψει τῇ σῇ, ᾄδοντας σὺν αὐτοῖς με διάσωσον. εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἐν Βαβυλῶνι αἰχμάλωτοι, τρεῖς ἰσαρίθμῳ ψήφῳ, βασιλεῖ ἀνόμῳ ἀνθίσαντο, προσκυνήσιν εἰκόνος ψυχοφθόρου κεχρυσωμένης. ὅθεν μὴ πεισθέντες, ἐν καμίνῳ τοῦ πυρὸς ἀπερρίφθησαν, καὶ μελῳδοῦντες ἔψαλλον, ὁ τῶν Πατέρων ἡμῶν.

Τὴν ἐν ἐρήμῳ βάτον ἀφλέκτως καιομένην, τυπικῶς τῶν ἑβραίων τὴν κάμινον, ὑπογράφουσαν ἔδειξεν, καὶ παρθένου τύπον δηλῶν, ὁ τῶν θαυμασίων Θεός, καὶ ὑπερένδοξος.

## ᾨΔΗ. Η'. ΗΧΟΣ. πλ. Β'.

Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας, καὶ δικαίου θυσίαν ὕδατι ἔφλεξας. ἅπαντα γὰρ δρᾷς, Χριστὲ μόνῳ τὸ βούλεσθαι, σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Τῇ μεγάλῃ πέμπτῃ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Νόμων πατρώων οἱ μακάριοι, ἐν Βαβυλῶνι νέοι προκινδυνεύοντες, Βασιλεύοντος κατέπτυσαν προσαγῆς ἀλογίστου, καὶ συνημμένοι ᾧ οὐκ ἐχωνεύθησαν πυρί, τοῦ κρατοῦντος ἐπάξιον ἀνέμελπον τὸν ὕμνον, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τῇ μεγάλῃ Παρασκευῇ.

Στήλην κακίας, ἀντιθέου παῖδες θεῖοι παρεδειγμάτισαν, κατὰ Χριστοῦ δὲ φρυαττόμενον, ἄνομον συνέδριον, βουλεύεται κενά, κτεῖναι μελετᾷ τὸν ζωῆς κρατοῦντα παλάμῃ· ὃν πᾶσα κτίσις εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας.

Τῷ μεγάλῳ Σαββάτῳ.

Ἔκστηθι φρίττων οὐρανέ, καὶ σαλευθήτωσαν τὰ θεμέλια τῆς γῆς, ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται, ὃν παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Ὀκτωήχου.

Οἱ ὅσιοί σου παῖδες ἐν τῇ καμίνῳ, τὰ Χερουβὶμ ἐμιμήσαντο, τὸν τρισάγιον ὕμνον ἀναβοῶντες. εὐλογεῖτε ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τῶν παίδων τὴν ᾠδὴν ἀναμέλψωμεν Χριστῷ, συμψάλλοντες αὐτοῖς. εὐλογείτω πᾶσα κτί-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σις τὸν Κύριον 3· καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὃν στρατιαὶ οὐρανῶν δοξάζουσι, καὶ φρίττει τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ, πᾶσα πνοὴ καὶ κτίσις, ὑμνεῖτε εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τῆς μουσικῆς συμφωνίας, καταφρονήσαντες οἱ παῖδες, θείαν ὑμνῳδίαν ἐκ τῆς φλογὸς ἀνέμελπον λέγοντες, ἱερεῖς εὐλογεῖτε, λαοὶ φυλαὶ, καὶ γλῶσσαι ὑπερυψοῦτε τὸν Κύριον.

Θεὸν πατέρα δημιουργὸν, ὁμοούσιον υἱὸν, καὶ θεῖον πνεῦμα, οἱ ἐν φλογὶ νεανίαι, ᾄδειν προτρέπονται, εὐλογεῖτε τὸν κύριον πᾶσα κτίσις, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν συνοδεύσαντα Χριστὸν, τοῖς περὶ τὸν Κλεώπαν, καὶ τὰς Προφητείας ἑρμηνεύσαντα αὐτοῖς, καὶ ἐν τῇ κλάσει τοῦ ἄρτου τοῖς ὀφθαλμοῖς διανοίξαντα, καὶ ἐπιγνωσθέντα, πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τυράννου χρυσοχώνευτον στήλην, ὡς ἀντίθεον ἄγαλμα, οὐ προσεκύνησαν παῖδες οἱ Σιωνῖται· ἀλλὰ θεοφορούμενοι τὴν Περσικὴν κάμινον, ὥσπερ λειμῶνα ἡγοῦντο, καὶ τὴν φλόγα ὡς ψεκάζουσαν νεφέλην, καὶ χορεύοντες ἔψαλλον. εὐλογεῖτε τὰ ποιήματα πάντα τὸν Κύριον.

Οὐρανῶν πᾶσαι αἱ δυνάμεις ὑμνοῦσι σε, τὸν ἀληθινὸν Θεόν.

Ἀπειλῶν ὁ ἄναξ ποτὲ τοῖς νεανίαις, κάμινον παρεσκεύασε, καὶ τοὺς ἀθώους προσέταξε βληθῆναι, ὁμολογοῦντας Θεὸν τὸν ὑπερένδοξον. ὃν εὐλογοῦσι τὰ ποιήματα πάσης τῆς κτίσεως εἰς τοὺς αἰῶνας.

Δύναμις τελεσιουργικὴ, ἐν Βαβυλῶνι δείκνυται, παῖδας ἐν φλογὶ θείῳ πνεύματι δροσίζουσα, καὶ τυράννου ἔπαρσιν καταφλέγουσα. διὸ ἀνεβόων εὐσεβῶς, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τῷ βασιλεῖ τῶν αἰώνων Χριστῷ, τὸν ὕμνον εἴπωμεν τῶν παίδων πιστοὶ, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

## ὨΔῊ Θ΄. ἮΧΟΣ. πλ. Β΄.

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τάγματα. διὰ σοῦ δὲ πάναγνε ὠράθη βροτοῖς, λόγος σεσαρκωμένος. ὃν μεγαλύνοντες, σὺν ταῖς οὐρανίαις στρατιαῖς σὲ μεγαλύνομεν.

Τῇ μεγάλῃ Πέμπτῃ.

Ξενίας δεσποτικῆς, καὶ ἀθανάτου τραπέζης, ἐν ὑπερῴῳ τόπῳ ταῖς ὑψηλαῖς φρεσὶ, πιστοὶ δεῦτε ἀπολαύσωμεν, ἐπαναβεβηκότα λόγον, ἐκ τοῦ λόγου μαθόντες, ὃν μεγαλύνομεν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τῇ μεγάλῃ Παρασκευῇ.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφὶμ, τὴν ἀδιαφθόρως Θεὸν λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Τῷ μεγάλῳ Σαββάτῳ.

Μὴ ἐποδύρου μου μῆτερ, καθορῶσα ἐν τάφῳ ὃν ἐν γαστρὶ ἄνευ σπορᾶς, συνέλαβες υἱόν· ἀναστήσομαι γάρ, καὶ δοξασθήσομαι. Ὑψώσω ἐν δόξῃ ἀπαύστως ὡς Θεὸς, τοὺς ἐν πίστει, καὶ πόθῳ σὲ μεγαλύνοντας. Τῆς Ὀκτωήχου.

Ἡ τὸ χαῖρε διʼ Ἀγγέλου δεξαμένη, καὶ τεκοῦσα τὸν κτίστην τὸν ἴδιον, Παρθένε σῶζε τοὺς σὲ μεγαλύνοντας.

Τὴν αἰωνίαν δεδραγμένοι λύτρωσιν, τὴν ἐκ προπάτορος Ἀδάμ, ἄνωθεν ἐκφυεῖσαν, τῇ γενέει φρικτῆς ἀποφάσεως, τὸν σὸν τόκον σὺν ἀσωμάτοις, τὸν ἀκατάληπτον δοξολογοῦμεν, Θεοτόκον σε ὕμνοις μεγαλύνοντες.

Χαῖρε σεμνὴ παναγία, παρθένε μόνη πανύμνητε, σὲ δοξάζει πᾶσα κτίσις τὴν μητέρα τοῦ φωτός.

Ἀσπόρου συλλήψεως, ὁ τόκος ἀνερμήνευτος, μητρὸς ἀνάνδρου, ἄφθορος ἡ κύησις, Θεοῦ γὰρ ἡ γέννησις, καινοποιεῖ τὰς φύσεις. διό σε πᾶσαι αἱ γενεαί, ὡς θεόνυμφον μητέρα, ὀρθοδόξως μεγαλύνομεν.

Ἡ διὰ λόγου τὸν λόγον μόνη κυήσασα, αἱρετικοὺς τὰ

στόματα· ἔμφραξον δυσφήμων, ἄλλος νέος οὐρανὸς ἄσυλος Παράδεισος, ἄχραντε, σὲ μεγαλύνομεν.

Μεγαλύνομέν σε πᾶσαι αἱ γενεαὶ, Θεοτόκε παρθένε, τὴν πηγὴν τῆς ζωῆς ἡμῶν.

Ἴδε πύλη, ἴδε ὄρος ἅγιον, ἴδε ἡ παρθενεύουσα μήτηρ, ἣν μεγαλύνομεν.

Ἄκουσον θύγατερ καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου· καὶ γὰρ πᾶσα ἡ δόξα σου παρθένε ἔσωθεν, ὡς συλλαβοῦσα τὸν κτίστην σου· διὸ οἱ πλήσιοι τοῦ λαοῦ τὸ πρόσωπόν σου λιτανεύοντες, σὲ μεγαλύνομεν.

Μητρικαῖς ἀγκάλαις σεμνὴ ἐβάστασας, τὸν καθήμενον ἐπὶ τῶν Χερουβίμ, καὶ τοῦτον μαζοτροφεῖς, δι' ἄκραν πάσης ἀγαθότητος, τοῦ Ἀδὰμ τὴν εἰκόνα μορφούμενον. διὸ συνελθόντες βροτῶν τὸ σύστημα, καὶ σὲ τὴν κυήσασαν, τὸ φῶς τοῦ κόσμου μεγαλύνομεν.

Τὴν ἀλοχεύτως τεκοῦσαν, τὸν ἕνα τῆς τριάδος, τὸ ἡμέτερον ὅλον, δίχα φθορᾶς ἀναλαβόμενον. ὃν αἱ πατριαὶ τῶν ἐθνῶν προσκυνοῦσι Παρθένε, σὲ μεγαλύνομεν.

Τὴν βάτον τὴν νοητὴν, τὴν πάλαι ἐν τῷ ὄρει θεαθεῖσαν Μωϋσῇ, ἀφλέκτως καιομένην, σὲ τὴν ἄχραντον καὶ ἁγίαν παρθένον, συμφώνως ἐν ὕμνοις μεγαλύνομεν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ἈΡΧῊ ΤΩ͂Ν ΕἹΡΜΩ͂Ν
## Τοῦ Βαρέως Ἤχου.

### ὨΔῊ Α΄. ἮΧΟΣ Βαρύς.

Νεύσει σου πρὸς γεώδη, ἀντιτυπίαν μετήχθη, ἡ πρὶν εὐδιάχυτος ὑδάτων φύσις Κύριε· ὅθεν ἀβρόχως πεζεύσας, ᾄδει Ἰσραὴλ σοι ᾠδὴν ἐπινίκιον.

Τῆς Πεντηκοστῆς.

Πόντῳ ἐκάλυψε Φαραὼ σὺν ἅρμασιν, ὁ συντρίβων πολέμους ἐν ὑψηλῷ βραχίονι, ᾄσωμεν αὐτῷ, ὅτι δεδόξασται.

Τῆς Ὀκτωήχου.

Τῷ συνεργήσαντι Θεῷ, Μωϋσῇ ἐν Αἰγύπτῳ, ἐξαγαγεῖν τὸν Ἰσραήλ, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Τῷ συντρίψαντι πολέμους ἐν βραχίονι αὐτοῦ, καὶ ἀναβάτας τριστάτας βυθίσαντι, ᾄσωμεν αὐτῷ ὡς λυτρωτῇ ἡμῶν Θεῷ, ὅτι δεδόξασται.

Τῷ ἐκτινάξαντι Θεῷ, τὸν Φαραὼ ἐν θαλάσσῃ ἐρυ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θρᾷ, ἐπινίκιον ᾠδὴν ᾄσωμεν, ὅτι δεδόξασαι.

Τῷ ἐν ῥείθρῳ ἐρυθρᾶς, τεῖχος ποιήσαντι καὶ διδόντι τῷ λαῷ, καὶ καλύψαντι βυθῷ Φαραὼ πανστρατιάν, ᾄσωμεν τῷ Κῷ, ἐνδόξως γὰρ δεδόξασαι.

Τῷ βυθίσαντι τὸν Φαραὼ ἐν ἐρυθρᾷ θαλάσσῃ, ἐπινίκιον ᾠδὴν ᾄσωμεν, ὅτι δεδόξασαι.

Μωσαϊκὴ ῥάβδος, θεϊκὴ δυναστεία, τὴν ἐρυθρὰν διῆλθε θάλασσαν, καὶ διήγαγε λαὸν, ὑμνοῦντα καὶ λέγοντα, ᾄσωμεν τῷ θαυμαστῷ Θεῷ ἡμῶν, ἐπινίκιον ᾠδὴν, ὅτι δεδόξασαι.

Ἄσωμεν ἐν ᾄσμασι, μεγαλωσύνην τῷ Θεῷ, τῷ λυτρωτῇ ἡμῶν.

Ἐν χθονίοις ὁ Ἰσραὴλ, βυθῷ πυθμένας ἰδὼν, ἀβρόχῳ ᾆσμα ποδὶ διεπέρασε μέλπων, τοὺς ἐπιστάτας ποντώσας γὰρ ἔκλυσεν.

## ᾨΔΗ Β΄. ἮΧΟΣ. Βαρύς.

Ὁ λαὸς προσέχετε Θεοῦ τὴν συγκατάβασιν, ὅτι ἐκ Παρθένου ἁγίας ἐτέχθη, ὡς ηὐδόκησεν, αὐτῷ δῶμεν δόξαν καὶ αἴνεσιν.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ἡμῶν, ὁ θύρας οὐρανοῦ ἀνεῴξας, καὶ βρέξας μάννα λαῷ ἐκλεκτῷ, ὡς δυνατά μοι πάντα· ποιῶ γὰρ ὅσα βούλομαι.

Πρόσεχε οὐρανὲ καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστὸν τὸν σωτῆρα τοῦ κόσμου τὸν μόνον φιλάνθρωπον.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΩΔΗ Γ'. ΗΧΟΣ. Βαρύς.

Ὁ καταρχὰς τοὺς οὐρανοὺς, παντοδυνάμῳ σου λόγῳ. στερεώσας Κύριε Σωτὴρ, καὶ τῷ παντουργῷ καὶ θείῳ Πνι, πᾶσαν τὴν δύναμιν αὐτῶν, ἐν ἀσαλεύτῳ με πέτρα, τῆς ὁμολογίας σου στερέωσον.

Τῆς Πεντηκοστῆς.

Τὴν ἐξ ὕψους δύναμιν τοῖς μαθηταῖς Χριστὲ, ἕως οὗ ἐνδύσησθε ἔφης, καθίσατε ἐν Ἰλὴμ. ἐγὼ δὲ ὡς ἐμὲ παράκλητον ἄλλον, πνεῦμα τὸ ἐμόν τε, καὶ Πατρὸς ἀποστελῶ, ἐν ᾧ στερεωθήσεσθε.

Τῆς Ὀκτωήχου.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ' ἐχθροὺς μου τὸ στόμα μου, ηὐφράνθην ἐν σωτηρίῳ σου.

Ἐστερεώθη τῇ πίστει, Χριστοῦ ἡ Ἐκκλησία, καὶ γὰρ ἀπαύστως ἐν ὕμνοις βοᾷ μελῳδοῦσα, ἅγιος εἶ Κύριε, καὶ σὲ ὑμνεῖ τὸ Πνεῦμά μου.

Ὁ οὐρανοὺς τῷ λόγῳ στερεώσας, καὶ τὸ τῆς γῆς θεμέλιον ἑδράσας ἐπὶ ὑδάτων πολλῶν, στερέωσόν μου τὸν νοῦν, εἰς τὸ θέλημά σου φιλάνθρωπε.

Ἐπὶ ὑδάτων τὴν γῆν θεμελιώσας, λόγῳ Χριστὲ ὁ Θεὸς, καὶ ἡμῶν τὰς καρδίας δοξάζειν σε στερέωσον.

Στηριζόμενοι Χριστὲ πρὸς τὴν δοξολογίαν, καὶ βεβαιώ-

σον ψάλλειν τῆς Ἄννης τὴν ᾠδὴν σοι, ὑμνῶν ἐν πᾶσιν, ἅγιος εἶ Κύριε, ὁ συνέχων τὰ πάντα.

Ἐν τῇ ὀρθοδόξῳ πίστει τῆς ὁμολογίας, στερέωσόν με Κύριε, ἵνα μὴ σαλεύσῃ με ὁ ἐχθρὸς εἰς τέλος.

Ὁ ἐξ ἀνάρχου Πατρὸς λόγε, υἱὲ μονογενές, φώτισον τὰς καρδίας ἡμῶν.

Στερέωμά μου γενοῦ, ὁ λόγῳ στερεώσας τοὺς οὐρανοὺς, καὶ ἑδράσας τὴν γῆν ἐπὶ ὑδάτων, καὶ ῥῦσαι ὡς Θεὸς πάσης περιστάσεως.

Ὁ ἐν ὑγροῖς βρίθουσαν τὴν γῆν, ἑδράσας παντοδυνάμει ὕδασι, καὶ οὐρανοὺς ἐπ' οὐδενὸς τῷ λόγῳ πηξάμενος, τὸν ἔνδον κατακαμφθέντα μου πάθεσιν ἄνθρωπον, ἀνελκύσας Χριστὲ, τῇ ἀσείστῳ σου πίστεως πέτρᾳ στερέωσον.

## ΩΔΗ Δ'. ΗΧΟΣ. Βαρύς.

Ὁ πατρικοὺς κόλπους μὴ λιπὼν, καὶ καταβὰς ἐπὶ τῆς γῆς Χριστὲ ὁ Θεὸς, τὸ μυστήριον ἀκήκοα τῆς οἰκονομίας σου, καὶ ἐδόξασά σε μόνε φιλάνθρωπε.

Τῆς Πεντηκοστῆς.

Κατανοῶν ὁ Προφήτης τὴν ἐπ' ἐσχάτων σου Χριστὲ ἔλευσιν ἀνεβόα, τὴν σὴν εἰσακήκοα Κύριε δυναστείαν, ὅτι πάντας τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας.

Ἐκάλυψεν οὐρανοὺς Χριστὲ ὁ Θεὸς, ἐν τῇ σῇ οἰκονομίᾳ, ἡ ἀρετὴ τῆς ἀφράστου σοφίας σου φιλάνθρωπε.

Εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην Κύριε.

Τὴν ἔνσαρκον παρουσίαν σου Χριστὲ, πιστούμενος ὁ Προφήτης Ἀββακοὺμ ἐκραύγαζε, δόξα τῇ δυνάμει σου Κύριε.

Ἀκήκοα τὴν ἀκοήν σου Κύριε, ὅτι ὤφθης ἐπὶ γῆς διὰ τὸ σῶσαι ἡμᾶς. διὸ βοῶμεν δόξα τῇ δυνάμει σου Κύριε.

Εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην Κύριε, κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην, ὅτι διὰ τοῦ σταυροῦ σου ἔλυσας τὸν θάνατον, ζωὴν ἡμῖν δωρησάμενος.

Τοὺς οὐρανοὺς ἐκάλυψεν ἡ ἀρετή σου Κύριε, καὶ τῆς σῆς αἰνέσεως τὰ πάντα ἐπλήρωσας, δόξα τῇ δυνάμει σου φιλάνθρωπε.

Θείῳ προφητικῶς Ἀββακοὺμ καθαρθεὶς πνεύματι, δύο ζώων τὴν μεταξὺ σοῦ παρουσίαν ἐκήρυξε. τρόμῳ δὲ συσχεθεὶς Χριστὲ μου τὴν ἀκοὴν, καὶ τῶν θαυμαστῶν ἀκηκοώς σου ἐκραύγαζε πεφόβημαι.

## ᾨΔΗ Ε´. ΗΧΟΣ. Βαρύς.

Νὺξ ἀφεγγὴς τοῖς ἀπίστοις Χριστὲ, τοῖς δὲ πιστοῖς φωτισμὸς,

τισμὸς ἐν τῇ ζυφῇ τῶν θείων λόγων σου διὰ τοῦτο πρὸς σὲ ὀρθρίζω, καὶ ἀνυμνῶ σου τὴν θεότητα.

Τῆς Πεντηκοστῆς.

Τὸ διὰ τὸν φόβον σου ληφθὲν Κύριε, ἐν γαστρὶ τῶν Προφητῶν, καὶ τεχθὲν ἐπὶ τῆς γῆς πνεῦμα σωτηρίας, Ἀποστολικὰς καρδίας κτίζει καθαράς, καὶ ἐν τοῖς πιστοῖς δι' αὐτοῦ ἐγκαινίζεται, φῶς γὰρ εἰρήνη, διότι τὰ σὰ προστάγματα.

Τῆς Ὀκτωήχου.

Οἱ ὀρθρίζοντές σοι λόγοι, εἰς δόξαν τὴν σὴν καὶ αἶνον, ἀνυμνοῦμεν ἀπαύστως τὸν τύπον τοῦ σταυροῦ σου, ὃν ἔδωκας ἡμῖν ὅπλον εἰς βοήθειαν.

Διασκεδάσας τὴν νύκτα τῶν παθῶν, λάμψον μοι φῶς νοερόν, ὁ τὸ ἀρχέγονον σκότος τῆς ἀβύσσου διώξας, καὶ τὸ πρωτόκτιστον φῶς καταλάμψας τὸν κόσμον, δημιουργὲ τοῦ παντός.

Κύριε ὁ Θεός μου, ἐκ νυκτὸς ὀρθρίσας σε ἱκετεύω, παράσχου μοι ἄφεσιν τῶν παραπτωμάτων μου, καὶ πρὸς φῶς τῶν σῶν προσταγμάτων, τὰς ὁδούς μου εὔθυνον δέομαι.

Ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεός, διότι φῶς, καὶ τὰ σὰ προστάγματα ἐγένοντο ἰάματα, τοῖς δούλοις σου φιλάνθρωπε.

Ἡ φωτὸς δοκήσει, πρὸς σκότος καθέλκουσα ἠμαύρωται πλάνη. Φῶς γὰρ τὸ ὄντως ἀπρόσιτον, καὶ ἀληθὲς θεοφανίας ἔλαμψεν. Ὅθεν ἐνθέως ἐκ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝ

νυκτὸς ὀρθρίζοντες, ὕμνον ἀναμέλπομεν.

Ἡ δρόσος ἡ παρὰ σοῦ Χριστὲ ὁ Θεὸς, ἴαμα τοῖς πιστοῖς ἡμῖν ἐδείχθη, τῇ γῇ δὲ ἀσεβούντων δυσσεβῶς, πτῶσις ἐπαγγέλλεται, διὸ ἐκ νυκτὸς ὀρθρίζοντες, ὕμνον σοὶ προσάγομεν.

Νυκτί με ἀχλυωθέντα παθῶν, καταύγασον φῶς τὸ ἀπρόσιτον αἰρόμενον, ἵνα ὀρθρίζων κράζω σοι, φῶς καὶ εἰρήνη σοῦ τὰ προστάγματα.

## ὨΔΉ ϛ´. ἮΧΟΣ Βαρύς.

Ναυτιῶντα σάλῳ, τῶν βιωτικῶν μελημάτων, συμπλόοις ποντούμενον ἁμαρτίαις, καὶ ψυχοφθόρῳ θηρὶ προσεῤῥιπτούμενον, ὡς ὁ Ἰωνᾶς Χριστὲ βοῶ σοι, ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.

Τοῦτο λέγεται τῆς Πεντηκοστῆς. Τῆς Ὀκτωήχου.

Ὁ Ἰωνᾶς ἐκ κοιλίας ᾅδου ἐβόα, ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου. ἡμεῖς δέ σοι βοῶμεν, παντοδύναμε Σωτὴρ ἐλέησον ἡμᾶς.

Βυθῷ ἁμαρτημάτων ἐμπεσὼν ἀγαθὲ, ὡς Ἰωνᾶς ἐκ τοῦ κήτους βοῶ σοι, ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου, καὶ σῶσόν με Φιλάνθρωπε.

Ἐκ βυθοῦ ἀνήγαγες Ἰωνᾶν τὸν Προφήτην σου Κύριε, κἀμὲ βοῶντα ἐκ βυθοῦ καὶ ἀμέτρων μου πταισμάτων, ἀνάγαγε ἐλεήμων ὡς φιλάνθρωπος.

Ἐβόησα Κύριε ἐν τῷ θλίβεσθαί με πρὸς σέ, καὶ ἀνήγαγες τὴν ζωήν μου πολυέλεε.

Ἐβόησα Κύριε ἐν τῷ θλίβεσθαί με πρὸς σέ, ἐνεπάγην γὰρ εἰς ἰλὺν βυθοῦ πταισμάτων πολλῶν, καὶ ἐκ φθορᾶς ἐπιφανείς με ἀνήγαγες.

Ἐβόησα Κύριε ἐν τῷ θλίβεσθαί με, καὶ ἐσώθην, καὶ ἀνυμνῶ σε τὸν Σωτῆρα μου.

Τοῦ πλήθους τῶν πταισμάτων μου ὡς Ἰωνᾶν ἐκ τοῦ κήτους ῥῦσαι με, μόνε φιλάνθρωπε.

Ἐκ κοιλίας ᾅδου ἐβόα, ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου. ἡμεῖς δὲ βοῶμέν σοι, παντοδύναμε Σωτὴρ ἐλέησον ἡμᾶς.

## ὨΔΗ Ζ. ἮΧΟΣ Βαρύς.

Κάμινον παῖδες, πυράφλεκτον πάλαι δροσοβολοῦσαν ὑπέδειξαν, ἕνα Θεὸν ἀνυμνοῦντες καὶ λέγοντες. ὁ ὑπερυψούμενος τῶν Πατέρων Θεός, καὶ ὑπερένδοξος.

Τῆς Πεντηκοστῆς.

Οἱ ἐν καμίνῳ τοῦ πυρὸς ἐμβληθέντες ὅσιοι παῖδες, τὸ πῦρ εἰς δρόσον μετέβαλον διὰ τῆς ὑμνῳδίας, οὕτω βοῶντες. εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τῆς Ὀκτωήχου.

Κάμινον καιομένην ἐδρόσισας Σωτήρ, παῖδας περιέσωσας, ὑμνοῦντας καὶ λέγοντας, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τοὺς ἐν καμίνῳ παῖδας οὐκ ἔφλεξεν, οὐδὲ παρηνώχλησε τὸ πῦρ. τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος, ὕμνουν καὶ εὐλόγουν λέγοντες, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἐν τῇ καμίνῳ ἐλέγξας ὤφθης, τῆς τῶν Περσῶν αἰτίας χρυσήλατον ἄθυρμα. διὸ οἱ παῖδες ἐπιγνόντες σε, τὴν ἀπαράλλακτον εἰκόνα τοῦ Πατρὸς, εὐλογητὸς εἶ ἔκραζον, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τῶν ἐν καμίνῳ παίδων σου οὐχ ἥψατο, οὐδὲ παρηνώχλησε τὸ πῦρ, τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος, ὕμνουν καὶ εὐλόγουν λέγοντες, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ δι' Ἀγγέλου τοῖς παισὶν ἐν καμίνῳ σώσας, καὶ τὴν φλόγα εἰς δρόσον αὐτοῖς μεταποιήσας, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τῶν Χερουβὶμ ἡνίοχε καὶ κτίστα τῶν ἁπάντων, ὁ τοὺς παῖδας ἐν καμίνῳ διασώσας, εὐλογητὸς εἶ ὁ Θεὸς εἰς τοὺς αἰῶνας, Κύριε ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τυραννικὴν πρόσταξιν παῖδες οὐχ ὑπήκουσαν, κάμινον οὐκ ἔπτηξαν, Θεῷ δὲ ἀνέμελπον, τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Τὸν ὄντως ὄντα Θεὸν, καὶ τῆς τῶν πάντων οὐσίας αἴτιον, Χριστὸν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## ΩΔΗ Η'. ΗΧΟΣ. Βαρύς.

Ἄφλεκτος πυρὶ, ἐν Σινᾶ προσομιλοῦσα, βάτος Θεὸν ἐγνώρισε, τῷ βραδυγλώσσῳ, καὶ δυσήχῳ Μωσεῖ, καὶ παῖδας ζῆλος Θεοῦ, τοὺς τρεῖς ἀναλώτους ἐν πυρὶ ὑμνῳδοὺς ἔδειξε. πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Πεντηκοστῆς, τὸ αὐτό. Τῆς Ὀκτωήχου.

Τοὺς ἐν καμίνῳ παῖδας μιμούμενοι, οἱ τοῦ πυρὸς τὴν δρόσον δεξάμενοι, ἐν πίστει κραυγάζομεν, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὸν μόνον ἄναρχον Βασιλέα τῆς δόξης, ὃν εὐλογοῦσιν οὐρανῶν αἱ δυνάμεις, καὶ φρίττουσι τῶν Ἀγγέλων αἱ τάξεις, ὑμνεῖτε ἱερεῖς, λαὸς ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὸν ὑπ' Ἀγγέλων ἀσιγήτως, ἐν ὑψίστοις δοξαζόμενον Θεὸν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, γῆ τε ὄρη, καὶ βουνοὶ, τε βυθὸς, καὶ πᾶν γένος ἀνθρώπων, ὕμνοις αὐτὸν ὡς κτίστην καὶ λυτρωτὴν εὐλογεῖτε.

Τὸν τοῦ παντὸς δημιουργὸν, καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν, ὑμνεῖτε λαοὶ Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὸν Κύριον πάντα τὰ ἔργα εὐλογεῖτε, ὡς δημιουργὸν, καὶ κτίστην τῶν ἁπάντων.

Οἱ παῖδες ἐκραύγαζον, ἐν καμίνῳ δροσισθέντες,

ἡ κτίσις εὐλογείτω τὸν τὰ σύμπαντα λόγῳ δημιουργήσαντα, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὸν ὄντως ὄντα Θεόν, καὶ τῆς τῶν πάντων οὐσίας αἴτιον, Χριστὸν ὑπερυψοῦμεν, καὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Κάμινον πάλαι, πυρὶ φλεγομένην, θεοσεβεῖς ἐπάτησαν παῖδες· οὐ γὰρ φόβῳ ὑπεῖξαν τυραννικῷ, ἀλλὰ πόθῳ δὲ μᾶλλον θεοσεβείας, πυρσούμενοι ἔλεγον. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὸν φοβερὸν τοῖς Χερουβίμ, καὶ θαυμαστὸν τοῖς Σεραφίμ, καὶ τοῦ κόσμου ποιητήν, ἱερεῖς καὶ δοῦλοι, καὶ πνεύματα δικαίων, ὑμνεῖτε εὐλογεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

## ΩΔΗ Η'. ΗΧΟΣ. Βαρύς.

Μὴ τῆς φθορᾶς διὰ πεῖραν κυοφορήσασα, καὶ παντεχνήμονι λόγῳ σάρκα δανείσασα, Μῆτερ ἀπείρανδρε, παρθένε Θεοτόκε, δοχεῖον τοῦ ἀστέκτου, χωρίον τοῦ ἀπείρου, πλαστουργοῦ σου σὲ μεγαλύνομεν.

Τῆς Πεντηκοστῆς, Τὸ αὐτό. Τῆς Ὀκτωήχου.

Τὴν ὑπὲρ φύσιν Μητέρα, καὶ κατὰ φύσιν παρθένον, τὴν μόνην ἐν γυναιξὶν εὐλογημένην, ἄσμασιν οἱ πιστοί, Θεοτόκον μεγαλύνομεν

Πανύμνητε τῶν οὐρανῶν ὑψηλοτέρα, ἡ τὸν ἄναρχον

λόγον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λόγον ἀσπόρως συλλαβοῦσα, καὶ σεσαρκωμένον
Θεὸν τεκοῦσα τοῖς ἀνθρώποις. διὸ πάντες σὲ με-
γαλύνομεν.

Μήτηρ Θεοῦ, καὶ παρθένος τεκοῦσα, καὶ παρθενεύουσα
πάλιν, οὐχὶ φύσεως ἔργον, ἀλλὰ Θεοῦ συγκατα-
βάσεως, ὅθεν ὡς μόνην τῶν θείων θαυμάτων.
καταξιωθεῖσαν σε ἀεὶ μεγαλύνομεν.

Σεσαρκωμένον τὸν λόγον ἀσπόρως, ἐκ σοῦ θεοπρε-
πῶς, τέτοκας παρθένε Θεοτόκε, καὶ σὲ μεγα-
λύνομεν.

Ἀσπόρου τόκου σύλληψιν τίς ἑρμηνεύσει βροτῶν; ἀφ-
θόρου τόκου γέννησιν τίς μὴ θαυμάσει γηγενῶν;
διό σε αἱ φυλαὶ τῆς γῆς, Θεοτόκε μεγαλύνομεν.

Σὲ τὴν σκηνὴν τὴν ἁγίαν, καὶ ἔμψυχον κιβωτόν, ἣν
ἡ σοφία τοῦ Θεοῦ ᾠκοδόμησεν ἀληθῆ Θεοτόκον,
ὕμνοις μεγαλύνομεν.

Σὲ τὴν ἄχραντον Μητέρα, καὶ παρθένον, τὴν τὸν ἀ-
χώρητον λόγον ἐν γαστρὶ χωρήσασαν, καὶ τεκοῦ-
σαν σαρκὶ, ὕμνοις μεγαλύνομεν.

Χαῖρε νύμφη φαεινὴ Μήτηρ τοῦ φωτοδόχου, Χαῖρε ἡ
χωρήσασα τὸν ἀχώρητον ἐν μήτρᾳ σου, Χαῖρε ἡ
τῶν Χερουβὶμ αὐτῶν τιμιωτέρα, ἡ κυήσασα τὸν
Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

# ΑΡΧΗ ΤΩΝ ΕΙΡΜΩΝ
## Τοῦ πλαγίου τετάρτου Ἤχου.

### ΩΔΗ Α΄. ΗΧΟΣ. πλ. δ΄.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσά ποτε, Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν, Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα.

Τῆς ὑψώσεως τοῦ Σταυροῦ.

Σταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τὴν ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύοντι. τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἥνωσεν, ἐπ' εὖρος διαγράψας τὸ ἀήττητον ὅπλον· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται.

Τῆς Ὀκτωήχου.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν Αἰγυπτίαν μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα, τῷ λυτρωτῇ, καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Ἡ κεκομμένη τὴν ἄτομον ἔτεμε, καὶ ἴδεν Ἥλιος γῆν,

λιὼ ὀκ ἐθεάσατο, ἀλάςορα ἐχθρὸν τὸ ὕδωρ κατεπόντισεν, καὶ ἄβατον διῆλθεν Ἰσραὴλ, ᾠδὴ δὲ ἀνεμέλπετο, τῷ κυρίῳ ἄσωμεν, ἐνδόξως γὰρ δεδόξασαι.

Προφητικῶς ὁ θεόπτης, τὸ θεοπικοῦ τὸ τύπον κατοπτριζόμενος, ἀβρόχοις ποσὶ, τὸ ἐρυθραῖον διεπορθμεύσατο πέλαγος. καὶ σκιρτῶν ἀνεβόα, ἄσωμεν ἐπινίκιον ὕμνον τῷ Κυρίῳ, ὅτι δεδόξασαι.

Ἄσωμεν τῷ Κῷ, τῷ ἐξαγαγόντι τὸ λαὸν αὐτοῦ ἐν ἐρυθρᾷ θαλάσσῃ, ὅτι μόνος ἐνδόξως δεδόξασαι.

Ἄσωμεν τῷ Κυρίῳ πάντες λαοὶ, τῷ ἐν θαλάσσῃ ἐρυθρᾷ, τὸν Φαραὼ βυθίσαντι, ἐπινίκιον ᾠδλὼ ᾄδοντα, ὅτι δεδόξασαι.

Τὸν Ἰσραὴλ ἐκ δουλείας ἐλυτρώσω Κύριε, τῇ δεξιᾷ σου τῇ κραταιᾷ, ὡς ἐκεῖνον ἔσωσας, νῦν ἡμᾶς διάσωσον.

Ἄσμα ἀναπέμψωμεν λαοὶ, τῷ θαυμαςῷ Θῷ ἡμῶν, τῷ ἀπαλλάξαντι τὸν Ἰσραὴλ δουλείας, ᾠδὴν ἐπινίκιον ᾄδοντες, καὶ βοῶντες, ᾄσωμέν σοι τῷ μόνῳ δεσπότῃ.

Τῷ ἐκτεινάξαντι ἐν θαλάσσῃ τὸ τυραννίδα Φαραὼ, καὶ τὸ Ἰσραὴλ διὰ ξηρᾶς ὁδηγήσαντι, ἄσωμεν Χριςῷ, ὅτι δεδόξασαι εἰς τοὺς αἰῶνας.

Τῷ συντρίψαντι πολέμους ἐν βραχίονι αὐτοῦ, καὶ διαβιβάσαντι τὸ Ἰσραὴλ ἐν ἐρυθρᾷ θαλάσσῃ, ἄσω-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μεν αὐτῷ ὡς λυτρωτῇ ἡμῶν Θεῷ, ὅτι δεδόξασαι.

Ἄσωμεν τῷ Θεῷ, τῷ ἐκ πικρᾶς δουλείας Φαραὼ ῥυσαμένῳ Ἰσραὴλ, καὶ ἐν πυρίνῳ στύλῳ, καὶ φωτὸς νεφέλῃ καθοδηγήσαντι, ὅτι δεδόξασαι.

Ἐν ἐρυθρᾷ Φαραὼ σὺν ἅρμασιν ἐβύθισας, καὶ τὸν λαὸν διὰ Μωσέως ἔσωσας, ᾄδοντά σοι Κύριε, ᾠδὴν ἐπινίκιον ὡς λυτρωτῇ ἡμῶν Θεῷ.

Ὁ παράδοξον ἐν θαλάσσῃ, τῷ λαῷ κατασκευάσας ὁδὸν, τὴν οὐρανῶν ἡμῖν πορείαν ἐπίβατον ποίησον, ἵνα καινὴν ᾠδὴν ᾄσωμέν σοι Κύριε.

Ἀθρόον πάλαι θάλασσαν, Ἰσραὴλ ὡς ἐν ἐρήμῳ ποσὶ κεκονιαμένῳ διελθὼν ἐβόα, Κυρίῳ τῷ Θεῷ ἡμῶν τῷ κραταιῷ ἐν πολέμοις, ᾄσωμεν ᾆσμα καινόν.

Τῷ θαυμαστῷ μεγαλεῖα προσάξωμεν, καὶ μεγαλοπρεπῶς σὺν ἡμῖν ἀνυμνείτω, γῆ καὶ οὐρανὸς ξένως τὴν δόξαν αὐτοῦ.

## ὨΔΗ Β΄. ἮΧΟΣ. πλ. Δ΄.

Πρόσεχε οὐρανὲ καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστὸν, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ἡμῶν, ὁ πρὸ τῶν αἰώνων γεννηθεὶς ἐκ τοῦ Πατρὸς, καὶ ἐκ τῆς παρθένου ἐπ' ἐσχάτων δίχα ἀνδρὸς κυηθεὶς, καὶ λύσας τὴν ἁμαρτίαν τοῦ προπάτορος Ἀδὰμ ὡς φιλάνθρωπος.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς, ὁ διαχίσας τὴν ἐρυθρὰν θάλασσαν ῥάβδῳ Μωσαϊκῇ, καὶ διαβιβάσας τὸν λαὸν, καὶ ὁδηγήσας αὐτὸν, καὶ διαθρέψας αὐτὸν, ἐν τῇ ἐρήμῳ σινᾶ, καὶ εἰσαγαγὼν αὐτοὺς εἰς ὄρος ἁγιάσματος.

Ὑπὲρ μέλι καὶ κηρίον, γλυκύτερα τὰ λόγια τοῦ στόματός μου, μάθετε βοᾷν, λέγει Κύριος.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι Θεὸς, ὁ πάλαι τὸν Ἰσραὴλ ἐν ἐρυθρᾷ θαλάσσῃ διαγαγὼν, καὶ θρέψας καὶ σώσας, καὶ ἐκ τῆς δουλείας πικρᾶς ἐλευθερώσας Φαραώ.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ἡμῶν, ὁ ἐν ἐλέει πλούσιος, καὶ ἀγαθὸς ἐν οἰκτιρμοῖς, ὁ λυτρούμενος λαὸν ἐκ πλάνης, καὶ δουλείας τῶν ἀθέων ἐχθρῶν.

Οὐρανοὺς ὁ ἐκτείνας, καὶ τὴν γῆν θεμελιώσας Χριστὲ, πρόσχες τῇ δεήσει μου, ὅτι τὸ ὄνομά σου τὸ θαυμαστὸν, ἐπεκαλεσάμην φιλάνθρωπε.

## ὨΔΗ Γ΄. ἮΧΟΣ. πλ. Δ΄.

Ὁ στερεώσας κατ' ἀρχὰς, τοὺς οὐρανοὺς ἐν συνέσει, καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας, ἐν τῇ πέτρᾳ με Χριστὲ, τῶν ἐντολῶν σου στήριξον, ὅτι οὐκ ἔστι πλὴν σου, ἅγιος μόνε φιλάνθρωπε.

Τοῦ σταυροῦ.

Ῥάβδος εἰς τύπον τοῦ μυστηρίου παραλαμβάνεται,

τοῦ βλαςῷ γὰρ προχείνει τὸν ἱερέα, τῇ σειρούσῃ δὲ πρώτω Ἐκκλησίᾳ ἐων ἐξιώθησε, ξύλον ςαυρῦ, εἰς κράτος, καὶ ςερέωμα.

Τῆς Ὀκτωήχυ.

Οὐρανίας ἀψῖδος ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ σύ με ςερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιςῶν τὸ ςήριγμα, μόνε φιλάνθρωπε.

Ἐςερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ ςόμα μου, εὐφράνθην ἐν σωτηρίῳ σου.

Στερέωσον ἡμῶν τὸν νοῦν, καὶ τὰς καρδίας, ὁ τοὺς οὐρανοὺς τῷ λόγῳ ςερεώσας, εἰς τὸ ὑμνεῖν, καὶ δοξάζειν σε, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Σὺ εἶ τὸ ςερέωμα, τῶν προςρεχόντων σοι Κύριε, σὺ εἶ τὸ φῶς τῶν ἐσκοτισμένων, καὶ ὑμνεῖ σε τὸ πνεῦμά μου.

Ὁ ςερεώσας ἐν τῇ χειρί σου, λόγε Θεοῦ τοὺς οὐρανοὺς, ἐν τῷ φωτισμῷ τῆς σῆς ἀληθοῦς ἐπιγνώσεως, ςερέωσον καὶ ἡμῶν τῶν ἐπὶ σοὶ πεποιθότων τὰς καρδίας.

Ὁ ςερεώσας λόγε τοὺς οὐρανοὺς λόγῳ, ςερέωσον ἡμῶν τὸν νοῦν καὶ τὴν καρδίαν, εἰς τὸ δοξάζειν σε τὸν σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ὁ ςερεώσας λόγῳ τοὺς οὐρανοὺς, καὶ τὴν γῆν ἐπὶ ὑδά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πον ἐδράσας πολλῶν, στερέωσόν με πρὸς ὕμνον τῆς δοξολογίας σου Κύριε.

Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος, καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν. ὃν ὑμνεῖ πᾶσα κτίσις. οὐκ ἔστι δίκαιος πλήν σου Κύριε.

Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν, διὰ τοῦτο ἐστερεώθη ἐν Κυρίῳ ἡ καρδία μου.

Σύνταξον Κύριε, τοῖς δυνατοῖς τοῦ λαοῦ σου περιζωννύων δύναμιν, καὶ τὰ τόξα τῶν πολεμίων σύντριψον, καὶ [illegible] πτωχείας μου τὸ κέρας ὕψωσον.

Τὸν φόβον σου Κύριε, ἐμφύτευσον ἐν ταῖς καρδίαις τῶν δούλων σου, καὶ γενοῦ ἡμῖν στερέωμα, τῶν σὲ ἐν ἀληθείᾳ ἐπικαλουμένων.

Στερέωσόν με Κύριε δυνάμει τοῦ σταυροῦ, καὶ δώρησαί μοι καρδίαν καθαρὰν, ἵνα ἐν σοὶ καυχῶμαι Ἀγαθέ.

Στερέωμά μου σωτὴρ ὑπάρχεις, καταφυγή μου, καὶ δύναμις, σαλευθεῖσαν τὴν καρδίαν μου, στερέωσον εἰς τὸν φόβον σου, ὅτι οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν.

Ἐν Κυρίῳ Θεῷ μου ἐστερεώθη ἡ ψυχή μου, καὶ καυχᾶσθω λέγουσα, οὐκ ἔστιν ἅγιος, οὐκ ἔστι δίκαιος πλήν σου Κύριε.

Ὁμοίωσόν με Χριστὲ νοητῶς τῷ ὄρει τῆς Σιὼν, ὑψώσας καὶ στερεώσας, τῇ ἐπὶ σοὶ πεποιθήσει, καὶ κα-

πας άξας τῇ δρόσῳ τῆς χάριτος φιλάνθρωπε.

Ἐστηριγμένον ἐν τῇ πέτρᾳ τῆς πίστεως, ὁ ἐπὶ ταύτην οἰκοδομήσω μου τὴν Ἐκκλησίαν εἰπὼν κύριε, διάσωσόν με βοῶντα, σὺ εἶ Χριστὲ ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ ἐν σοὶ ἐστήρικται τὸ Πνεῦμά μου.

Στερέωσόν με Κύριε, τὴν ἀσθένειαν μου γινώσκων, καὶ χεῖρά μοι ἔκτεινον ὡς παντοδύναμος.

## ὨΔΗ Δ΄. ἮΧΟΣ. πλ. Δ΄.

Σύ μου ἰσχὺς Κύριε, σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ πατρικοὺς κόλπους μὴ λιπὼν, καὶ τὴν ἡμετέραν πτωχείαν ἐπισκεψάμενος. διὸ σὺν τῷ Προφήτῃ Ἀββακοὺμ σοι κραυγάζω, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Τοῦ σταυροῦ.

Εἰσακήκοα κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν θεότητα.

Τῆς Ὀκτωήχου.

Ἐκ σαρκός σου βολίδες θεότητος ἐξεπορεύοντο, Προφητῶν καὶ Ἀποστόλων ὅθεν οἱ πρόκριτοι, μέλποντες ἀνεβόων, δόξα τῇ δυνάμει σου κύριε.

Ἐξ ὄρους κατασκίου, λόγε ὁ Προφήτης, τῆς μόνης Θεοτόκου μέλλοντος σαρκοῦσθαι, θεοπτικῶς κατενόησεν ἐν φόβῳ, καὶ ἐδοξολόγει σου τὴν δύναμιν.

Ἀκή-

Ἀκήκοα Κύριε τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. ὅτι ἀῤῥήτῳ βουλῇ ἀΐδιος, ἐκ τῆς παρθένου προῆλθες σαρκωθεὶς, δόξα τῇ συγκαταβάσει σου Χριστὲ, δόξα τῇ δυνάμει σου.

Ἐπέβης ἐφ᾽ ἵππους, τοὺς Ἀποστόλους σου κύριε, καὶ ἐδέξω χερσί σου ἡνίας αὐτῶν, καὶ σωτηρία γέγονεν ἡ ἱππασία σου, τοῖς πιστῶς μελῳδοῦσι, δόξα τῇ δυνάμει σου κύριε.

Ὁ θεοφόρος Πνεύματι ἁγίῳ φωτισθεὶς, Προφήτης Ἀββακοὺμ, τὴν ἐπ᾽ ἐσχάτων σου ἔλευσιν, προκατιδὼν ἀνεβόα, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ. δόξα τῇ δυνάμει σου Κύριε.

Μυστικῶς ὁ Προφήτης προορῶν, ἐκ παρθένου σε λόγε σαρκούμενον, μελῳδικῶς ἀνεβόα, δόξα τῇ δυνάμει σου Κύριε.

Ὁ Προφήτης Ἀββακοὺμ, τοῖς νοεροῖς ὀφθαλμοῖς προεῖδε Κύριε τὴν παρουσίαν σου. διὸ καὶ ἀνεκραύγαζεν, ἀπὸ Θαιμὰν ἥξει ὁ Θεός. δόξα τῇ δυνάμει σου δόξα τῇ συγκαταβάσει σου.

Εἰσακήκοα κύριε τὴν ἀκοήν σου καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασα τὸ κράτος σου Κύριε.

Ἀκήκοα Κύριε τὴν ἀκοήν σου καὶ ἐφοβήθην, κατενόησα τὴν ἄφατόν σου οἰκονομίαν, καὶ ἐδόξασα λόγε τὴν συγκατάβασίν σου.

Τὴν σὴν ἐνανθρώπησιν, ἣν πρὸ αἰώνων προώρισας, καὶ ἐπ' ἐσχάτων ηὐδόκησας τελέσαι Κύριε, εἰσακήκοα, καὶ φόβῳ αὐύμνητα.

Σοῦ τὴν ἄχραντον ἔλευσιν Χριστέ, προθεωρῶν ὁ Προφήτης Ἀββακούμ, ἐβόα σοι σὺν τρόμῳ, ἀκήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην Κύριε.

Εἰσακήκοα τὴν ἀκοήν σου Κύριε, καὶ ἐφοβήθην. κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. ὅτι ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου Χριστέ, καὶ τὰ σύμπαντα σωτήρ, τῆς σῆς αἰνέσεως ἐπλήθη.

Οὐρανοὺς ἐκάλυψε Χριστέ, ἡ σὴ ἀρετή, καὶ τῆς σῆς αἰνέσεως πεπλήρωται τὰ σύμπαντα.

Ὡς τῷ Πέτρῳ χεῖρα ἐκτείνας εἰς βοήθειαν, κἀμὲ ἐλέησον, καὶ σῶσον ὡς φιλάνθρωπος.

Ἀββακοὺμ Προφῆτα, τί κράζεις, τί εἰδὼν ἐξέστης, ἐκ Θαυμάσιε ἥξοντα, τὸν Θεὸν ὁρῶν πεφόβημαι.

## ᾨΔΗ Ε'. ΗΧΟΣ πλ. Δ'.

Ἵνατί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με τὸ ἀλλότριον σκότος τὸν δείλαιον, ἀλλ' ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι.

Τοῦ Σταυροῦ.

Ὦ τρισμακάριστον ξύλον, ἐν ᾧ ἐπάθη Χς ὁ Βασιλεὺς, καὶ Κς δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθεὶς Θεῷ τῷ προσπαγέντι σαρκὶ, τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Τῆς Ὀκτωήχου.

Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου Κύριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην παράσχου ἡμῖν φιλάνθρωπε.

Τὸν ζόφον τῆς ψυχῆς μου διασκέδασον, φωτοδότα Χριστὲ ὁ Θεὸς, ὁ τὸ ἀρχέγονον σκότος διώξας τῆς ἀβύσσου. καὶ δώρησαί μοι τὸ φῶς τῶν προσταγμάτων σου λόγε, ἵνα ὀρθρίζων δοξάζω σε.

Ὀρθρίζοντες βοῶμέν σοι Κύριε, σῶσον ἡμᾶς, σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Τῆς τῶν παθῶν μου ἀχλύος, ὡς ἐκ νυκτὸς βαθυτάτης λυτρούμενος, ὀρθρίζειν ἀξίωσον, τὸ Πνεῦμά μου δέομαι, ἐν φωτὶ ἡμέρας τῶν σῶν προσταγμάτων Χε.

Σῷ φωτὶ αὔγασόν μου τὸν νοῦν ὁ Θεὸς δέομαί σου, ἵνα τὴν πολλήν σου ὑμνήσω, ἐκ νυκτὸς ὀρθρίσας ἀγαθότητα.

Τὸν ἐκ νυκτὸς ἀγνωσίας, ἐπὶ τὴν ψυχάλωτον ὁδὸν ἀεὶ πλανώμενον, τῷ φωτὶ τῆς γνώσεώς σου Κύριε, προοδηγῶν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου καθοδήγησον.

Ὅτι Θεὸν ἄλλον ἀγαθὲ, πλὴν σοῦ οὐ γινώσκομεν· πρὸς σὲ τὸ φῶς τὸ ἄδυτον, ἐκ νυκτὸς ὀρθρίζοντες, αἰνυμνοῦμέν σε φιλάνθρωπε.

Ὀρθρίζει τὸ πνεῦμα μου πρὸς σὲ ὁ Θεὸς, τὸν ἐκ Πατρὸς γεννηθέντα ἀφράστως, καὶ ἐγείραντα κέρας σωτηρίας ἡμῖν.

Ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεὸς· διότι φῶς τὰ προστάγματα τῆς παρουσίας σου. ἐν αὐτοῖς οὖν καταύγασον τὸν νοῦν ἡμῶν δέσποτα, καὶ ὁδήγησον ἐν τρίβῳ ζωῆς.

Ἐκ νυκτὸς ἀγνωσίας, θεογνωσίας φαιδρωὰς τὰ πέρατα, φώτισόν με τῷ ὄρθρῳ τῆς φιλανθρωπίας σου Κύριε.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεὸς, ἔλεος παράσχου μοι.

Κύριε ὁ Θεὸς ἡμῶν εἰρήνην δὸς ἡμῖν, Κύριε ὁ Θεὸς ἡμῶν κτῆσαι ἡμᾶς, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν.

Ὀρθρίζοντες πρὸς σὲ τὸν φιλάνθρωπον, αἰνυμνοῦμέν σε Χριστὲ ὁ Θεὸς, δώρησαι ἡμῖν τὰ ἐλέη σου.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς τὴν σὴν ὑμνῳδίαν, διότι φῶς καὶ εἰρήνη τὰ προστάγματά σου.

Ἀγαθὲ φωτὸς, καὶ εἰρήνης χορηγὲ, τοῦ σκότους με καὶ πολέμου ῥῦσαι τῶν παθῶν, ὀρθρίζοντα Χριστὲ πρὸς τὴν σὴν αἴνεσιν.

Τὰ προστάγματά σου φωτισμὸν Χριστὲ ὁ Θεός, ὡς ἀγαθὸς ὑπέδειξας. διό σοι φωτοδότα ἐκ νυκτὸς ὀρθρίζοντες, δόξαν ἀναπέμπομεν.

Τῷ σῷ φωτὶ αὐγασθῆναι μου τὸν νοῦν ὁ Θεὸς δέομαί σου· ἵνα τὴν πολλήν σου ὑμνήσω, ἐκ νυκτὸς ὀρθρίσας ἀγαθότητα.

Ἐκ νυκτὸς ἀγνοίας, θεογνωσίας ἡμέραν ἐν τῷ φωτὶ τοῦ προσώπου σου Χριστὲ, ἐλαμφθείη πρὸς ὄρθρον ἡ αἴνεσίς σου ἐν ταῖς καρδίαις ἡμῶν.

## ὨΔΗ Ϛʹ. ἮΧΟΣ πλ. δʹ.

Ἱλάσθητί μοι σωτὴρ, πολλαὶ γὰρ αἱ ἀνομίαι μου· καὶ ἐκ βυθοῦ τῶν κακῶν ἀνάγαγε δέομαι. πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Τοῦ σταυροῦ.

Νοτί[illegible]ς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς· ὅθεν τριήμερος ἐκδὺς, τὴν ὑπερκόσμιον ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει τὸν κόσμον φωτίσαντος.

Τῆς Ὀκτωήχου.

Τὸν Ἰωνᾶν ἐν τῷ κήτει Κύριε, μονώτατον κατῴκησας, ἐμὲ δὲ τὸν πεπεδημένον ἐν ἄρκυσι τοῦ ἐχθροῦ, ὡς ἐκ φθορᾶς ἐκεῖνον διάσωσον.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὡς τὸν προφήτην ἐρρύσω, ἐκ βυθοῦ κατωτάτου Χριστὲ ὁ Θεός, κἀμὲ τῶν πταισμάτων μου ῥῦσαι ὡς φιλάνθρωπος, καὶ κυβέρνησον τὴν ζωήν μου δέομαι.

Χιτῶνά μοι παράσχου φωτεινόν, ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, πολυέλεε Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ἄβυσσος ἁμαρτιῶν, καὶ πταισμάτων καταιγίς με ταράττει, καὶ πρὸς βυθὸν βιαίας συνωθεῖ ἀπογνώσεως· ἀλλὰ σὺ τὴν κραταιὰν χεῖρά μοι ἔκτεινον ὡς τῷ Πέτρῳ, ὦ κυβερνῆτα καὶ διάσωσον.

Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ ἅδῃ προσήγγισε. καὶ δέομαι ὡς Ἰωνᾶς, ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Ὁ ἐν Ἰσαὰκ τὸ πάθος προγράψας, καὶ ἐν Ἰωνᾷ ταφὴν προτυπώσας, καὶ ἀνάστασιν πᾶσι παρέχων, σοὶ βοῶμεν σὺν τῷ Προφήτῃ, ἐκ φθορᾶς ἡμᾶς ἀνάγαγε εὔσπλαγχνε Κύριε. ιδ

Πρὸς τὸν δυνάμενον σώζειν με Κύριον, ἐκ βυθοῦ ἁμαρτιῶν ἐβόησα, καὶ ἐκ φθορᾶς ἀνήγαγε τὴν ζωήν μου ὡς φιλάνθρωπος.

Ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ εἶδον τὰ θαυμάσιά σου Κύριε.

Συνεχόμενον δέξαι με φιλάνθρωπε, ἐκ πταισμάτων πολλῶν, καὶ προσπίπτοντα τοῖς οἰκτιρμοῖς σου, ὡς τὸν Προφήτην Κύριε, καὶ σῶσόν με.

Ὡς

Ὡς ὕδατα θαλάσσης φιλαῦε, τοῖς κύμασι τοῦ βίου χειμάζομαι. διὸ ὡς Ἰωνᾶς οὕτω βοῶ σοι, ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου εὔσπλαγχνε Κύριε.

Ὡς τὸν Προφήτην Ἰωνᾶν, τοῦ κήτους ἀνήγαγες ὁ Θεὸς, οὕτω ῥῦσαί με ἐκ θήρας τοῦ ἀλλοτρίου, καὶ σῶσόν με οἰκτίρμον ὡς πολυέλεος.

Ὡς ἐκ τοῦ κήτους ἐλύτρωσω τὸν Προφήτην σου, κἀμὲ σωτὴρ ἡμῶν, τοῦ πλήθους τῶν πταισμάτων μου λύτρωσαι.

Ὑπερῆραν τὴν κεφαλήν μου αἱ ἀνομίαι μου, ὡς βαρὺ φορτίον ἐπ' ἐμὲ βαρυνθεῖσαι, εἰς ἀπογνώσεως βάθη καθέλκουσί με, ἀλλὰ πρὶν βυθισθῆναι Κύριε σῶσόν με.

Ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου, καὶ ἐρρύσω ἐκ φθορᾶς τὴν ζωήν μου πολυέλεε.

Ὡς ὕδατα θαλάσσης φιλαῦε, τοῖς κύμασι τοῦ βίου χειμάζομαι. διὸ ὡς Ἰωνᾶς σοὶ κραυγάζω λόγε, ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου εὔσπλαγχνε Κύριε.

## ὨΔΗ Ζ'. ἮΧΟΣ πλ. Δ'.

Θεοῦ συγκατάβασιν, τὸ πῦρ ᾐδέσθη ἐν Βαβυλῶνι ποτέ. διὰ τοῦτο οἱ παῖδες ἐν τῇ καμίνῳ ἀγαλλομένῳ ποδί, ὡς ἐν λειμῶνι χορεύοντες ἔψαλλον. εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τȣ̃ Σταυρȣ̃.

Ἔκνοον πρόσαγμα τυράννȣ δυσσεβȣ̃ς, λαοὺς ἐκλόνησε, πνέων ἀπειλῆς, καὶ δυσφημίας θεοστυγȣ̃ς. ὅμως τοὺς τρεῖς παῖδας ȣ̓κ ἐδειμάτωσε, θυμὸς θηριώδης, ȣ̓ πῦρ βρόμεον. ἀλλ᾽ ἀντηχȣ̃ντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον. ὁ ὑπερύμνητος τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Τῆς Ὀκτωήχȣ.

Παῖδες ἑβραίων ἐν καμίνῳ, κατεπάτησαν τὴν φλόγα θαρσαλέως, καὶ εἰς δρόσον τὸ πῦρ μετέβαλον βοῶντες, εὐλογητὸς εἶ κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Οἱ τῆς Χαλδαίας καμίνȣ, τὴν παμόλεθρον δύναμιν σβέσαντες, μορφῇ Ἀγγέλȣ συγκαταβάσει τοῦ δημιȣργȣ̃ νεανίαι ἐκραύγαζον. εὐλογητὸς εἶ, καὶ αἰνετὸς ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ἐν πεδίῳ δεηρᾶ ποτὲ ὁ τύραννος κάμινον ἔστησε, πρὸς τιμωρίαν τῶν θεοφόρων, ἐν ᾗ οἱ τρεῖς παῖδες ὑμνολόγȣν ἕνα Θεὸν, τρισσῶς ἀνύμνȣν λέγοντες. ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Οἱ ἐκ τῆς Ἰȣδαίας, καταντήσαντες παῖδες ἐν Βαβυλῶνι ποτὲ, τῇ πίστει τῆς τριάδος, τὴν φλόγα τῆς καμίνȣ κατεπάτησαν ψάλλοντες, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Παῖδες θεοσεβεῖς ἐν Βαβυλῶνι, εἰκόνι τῇ χρυσῇ ȣ̓

προσε-

προσεκυνῆσαι, ἀλλ' ἐν μέσῳ καμίνου πυρὸς δροσιζόμενοι, τὴν ᾠδὴν ἀνέμελπον λέγοντες, ὁ ὑπερυψούμενος τῶν Πρῶν καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὁ δι' Ἀγγέλου παῖδας ἐκ πυρὸς διασώσας, καὶ τὴν βροντῶσαν κάμινον μεταβαλὼν εἰς δρόσον, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ ἐν ἀρχῇ τὴν γῆν θεμελιώσας, καὶ οὐρανοὺς τῷ λόγῳ στερεώσας, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ τοὺς παῖδας δροσίσας ἐν καμίνῳ, καὶ παρθένον φυλάξας τὴν τεκοῦσαν σε μετὰ τόκον, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τῶν Χαλδαίων ἡ κάμινος πυρὶ φλογιζομένη, ἐδροσίζετο πνεύματι Θεοῦ ἐπιστασίᾳ, οἱ παῖδες ὑπέψαλλον, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ ἐν καμίνῳ πυρὸς τοὺς παῖδας διασώσας, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Μιμητὰς τῶν ὁσίων σου Κύριε παίδων, ποίει ἡμᾶς ἀντικαθισταμένους πρὸς ἁμαρτίαν, καὶ τὸ πῦρ τῶν ἡδονῶν πατοῦντας καὶ ψάλλοντας, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἀποβλεψάμενος ὁ τύραννος τοῦ τετάρτου τὴν μορφὴν, ἔλεγε τοῖς μετ' αὐτοῦ, τρεῖς ἐβάλομεν ἐν τῇ φλογὶ,

νῦν

ιῦν δὲ τέσσαρας ὁρῶ, τοῦ ἑνὸς ἡ μορφὴ ἐξ ἑστάμου. τὸν νοῦν, ἐκπλήττει μου τὸν λογισμόν, τῶν τριῶν ὁ χορὸς ὑμνεῖτε εἰς τοὺς αἰῶνας.

Τῶν παίδων ἐν καμίνῳ βληθέντων, θεασάμενος ὁ τύραννος, τοῦ τετάρτου τὴν μορφὴν, ἐν εἴδει γοῦν τοῦ Θεοῦ, σὺν αὐτοῖς ἐκραύγαζεν. εὐλογητὸς εἶ ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

## ΩΔΗ Η. ΗΧΟΣ. πλ. Δ΄.

Ἑπταπλασίως κάμινον, τῶν Χαλδαίων ὁ τύραννος, τοῖς θεοσεβέσιν ἐμμανῶς ἐξέκαυσε. δυνάμει δὲ κρείττονι περισωθέντας τούτους ἰδὼν, τῷ δημιουργῷ, καὶ λυτρωτῇ ἀνεβόα· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Τοῦ Σταυροῦ.

Εὐλογεῖτε παῖδες, τῆς τριάδος ἰσάριθμοι, δημιουργὸν πατέρα Θεὸν ὑμνεῖτε, τὸν συγκαταβάντα λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα, καὶ ὑπερυψοῦτε τὸ πᾶσι ζωὴν, παρέχον Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας. Τῆς Ὀκτωήχου.

Μουσικῶν ὀργάνων συμφωνούντων, καὶ λαῶν ἀπείρων προσκυνούντων, εἰκόνι τῇ ἐν Δεηρᾷ, τρεῖς παῖδες μὴ πεισθέντες, τὸν κύριον ἀνύμνουν, καὶ ἐδοξολόγουν εἰς πάντας τοὺς αἰῶνας.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Νικηταὶ τυράννου, καὶ φλογὸς τῆς χάριτός σου γεγονό-
τες, οἱ τῶν ἐντολῶν σου σφόδρα ἀντεχόμενοι παῖ-
δες ἐβόων. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν
Κύριον.

Ἀπαγορεύοντες χρυσολατρείαν οἱ παῖδες, Βασιλέ-
ως κατεφρόνησαν. ἐγνώρισε γὰρ αὐτοὺς τὸ πῦρ δού-
λους θείους, καὶ ἐξάπινα βοῶντας· ὑμνείτω ἡ κτίσις τὸν
κτίστην, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ἀσεβείας ὄργανα, ἀλλ' οἷον μέλος. εὐσεβείας δὲ αἱ
φθέγγοι ἐκελάδουν φόρμιγγες. εὐλογεῖτε τὰ ἔρ-
γα Κυρίου, Χριστὸν εἰς τοὺς αἰῶνας.

Οἱ θεοῤῥήμονες παῖδες ἐν τῇ καμίνῳ, σὺν τῷ πυ-
ρί, καὶ τὴν φλόγα καταπατοῦντες ὑπέψαλλον, εὐ-
λογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὸν ἐκ Πατρὸς προαιώνων γεννηθέντα, καὶ ἐκ μητρὸς
ἐπ' ἐσχάτων σαρκωθέντα, ἱερεῖς εὐλογεῖτε, λαὸς
ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα, καὶ ἐν βάτῳ πυρὶ τὸ
τῆς ἀειπαρθένου, τῷ Μωϋσῇ μυστήριον γνωρί-
σαντα, Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάν-
τας τοὺς αἰῶνας.

Τὸν ἄναρχον Βασιλέα τῆς δόξης, ὃν φρίττουσιν οὐρα-
νῶν αἱ δυνάμεις, ὑμνεῖτε ἱερεῖς, λαὸς ὑπερυψοῦ-
τε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς θα-

λάσῃ θεῖον ψάμμον, ὁ συνέχων τὸ πᾶν, σὲ ὑμνεῖ ἥλιος, σὲ δοξάζει σελήνη, σοὶ προσφέρει ὕμνον πᾶσα ἡ κτίσις, ὡς δημιουργῷ τῶν ὅλων εἰς τοὺς αἰῶνας.

Ἄγγελοι, καὶ οὐνοὶ, τὸν ἐπὶ θρόνου δόξης ἐποχούμενον, καὶ ὡς Θεὸν ἀπαύστως δοξαζόμενον, εὐλογεῖτε ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἐν καμίνῳ χορείαν ἔστησαν νεανίαι, τὴν ἐναρμόνιον τάξιν διεξιόντες τῆς κτίσεως, προθέντες δοξάζειν τὴν παντουργικὴν σοφίαν, Χριστὸν ἀναμέλποντες. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἱερουσαλὴμ ἡγιασμένη, εὐγενεῖς ὄντες παῖδες ἐδείχθησαν, οἱ τῶν ἐν αὐτῇ θείων θρησκευμάτων, μὴ λαβόντες λήθην ὁλόλυτον. ἀλλὰ τὸ Βαβυλώνιον πῦρ ἐν αὐτοῖς, εὐσεβοῦσι προξενήσαντες, ἐν ᾧ δροσισθέντες ἔψαλλον, εὐλογεῖτε τὰ ποιήματα τὸν Κύριον.

Ἐκαύσατε τὴν κάμινον ἑπταπλασίως, ἕως οὗ εἰς τέλος ἐκκαεῖ, ὁ τύραννος ἔφη τοῖς Χαλδαίοις, τὸν Ἀνανίαν, Ἀζαρίαν, καὶ Μισαὴλ, ἐμβάλλετε αὐτοὺς ἐν αὐτῇ οἵτινες τῇ εἰκόνι τῇ χρυσῇ οὐ προσεκύνησαν, ἀλλ᾽ ἔλεγον. ἡμεῖς Θεὸν ἔχομεν ἐν οὐρανοῖς, ὃν λατρεύομεν, καὶ προσκυνοῦμεν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖσε πᾶσα ἡ κτίσις Κέ, ἐδοξολόγησαν σε οὐρανῶν αἱ δυνάμεις σὺν τοῖς παισὶ, καὶ ἡμεῖς αἰνοῦ-

μνῆμεν, καὶ ὑπερυψῶμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄναρχος Θεὸς λόγος ἐλθὼν ἐπὶ τὸ βάπτισμα, ἐτέλει τὸ μυστήριον τῆς οἰκονομίας ἐν Ἰορδάνῃ, καὶ τῷ προδρόμῳ ἔλεγε, σύμε βαπτίζεις ὕδατι, κἀγὼ δέσε ἐν Πνεύματι, μετὰ τῶν ἐν πίστει βοώντωνμοι, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὸν ἐν φωναῖς Ἀγγέλων, ἀπαύστως δοξαζόμενον, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὸν Βασιλέα τῶν ἄνω ὃν ὑμνοῦσιν στρατιαὶ τῶν Ἀγγέλων, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

## ΩΔΗ Θ'. ΗΧΟΣ. πλ. Δ'.

Ἐξέστη ἐπὶ τοῦτο ὁ οὐρανὸς, καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα. ὅτι Θεὸς ὤφθη τοῖς ἀνθρώποις σωματικῶς, καὶ ἡ γαστήρσου γέγονεν εὐρυχωροτέρα τῶν οὐρανῶν. διόσε θεοτόκον, Ἀγγέλων, καὶ ἀνθρώπων, ταξιαρχίαι μεγαλύνουσιν. Τοῦ Σταυροῦ.

Μυστικὸς εἶ θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν. ὑφ' οὗ τὸ τοῦ σταυροῦ ζωηφόρον ἐν γῇ πεφυτούργηται δένδρον. διὸ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτὸν, σὲ μεγαλύνομεν.

Ὁ διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμενος θάνατος, διὰ σταυροῦ κατήργηται σήμερον, τῆς γὰρ προμήτορος ἡ παγγενὴς κατάρα διαλέλυται, τῷ

βλαστῷ τ' ἁγνῆς θεομήτορος, ἣν πᾶσαι αἱ δυνάμεις τῶν ἄνω μεγαλύνουσιν. Τῆς Ὀκτωήχου

Ἔφριξε πᾶσα ἀκοὴ, τὴν ἀπόῤῥητον Θεοῦ συγκατάβασιν, ὅπως ὁ ὕψιστος ἑκὼν κατῆλθε μέχρι καὶ σώματος, παρθενικῆς ἀπὸ γαστρὸς, γενόμενος ἄνθρωπος. διὸ τὴν ἄχραντον Θεοτόκον οἱ πιστοὶ μεγαλύνομεν.

Εὐλογητὸς κύριε ὁ θεὸς τοῦ Ἰσραὴλ, ὁ ἐγείρας κέρας σωτηρίας ἡμῖν, ἐν οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ, ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, καὶ κατεύθυνεν ἡμᾶς εἰς ὁδὸν εἰρήνης.

Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι παρθένε ἁγνὴ, σὺν ἀσωμάτοις χορείαις σὲ μεγαλύνοντες.

Σὲ τὴν ἀπειρόγαμον, Θεοῦ Μητέρα τοῦ ὑψίστου, σὲ τὴν ὑπὲρ νοῦν κυήσασαν, διὰ λόγου τὸν ὄντως Θεὸν, τὴν ὑψηλοτέραν τῶν ἀχράντων δυνάμεων, ἀσιγήτοις δοξολογίαις μεγαλύνομεν.

Ὦ παρθενίας ἀκρότης θεοτόκε, ψαλμοῖς σὲ εὐκλεεῖς σιεσρταῖς ὑψοῦσα χαρίτων σου, καὶ τὴν πλέον τῇ παρθενικῇ τοῦ λόγου σου μνήμῃ, φωτίσει μυστικῇ κοσμοῦσα, τοὺς ἐν αὐτῇ σὲ μεγαλύνοντας.

Ὅτι ὡς παρῆλθες τὸ φύσεως, τὸν δημιουργὸν συλλαβοῦσα καὶ κύριον, καὶ πύλη σωτηρίας τῷ κόσμῳ γέγονας. διό σε Θεοτόκε ἀκαταπαύστως μεγαλύνομεν.

Μεγαλωώομεν σε τὴν Μητέρα τοῦ Θεοῦ, καὶ δοξάζομέν σε Θεοτόκε παρθένε, ὡς σωτῆρα τεκοῦσαν τῶν ψυχῶν ἡμῶν.

Τὸν ἄφρατον μορφῇ θεϊκῇ δεξαμένην, ἀπειρόγαμε παρθένε, καὶ μήτηρ, ὕμνοις τὸν τόκον σου μεγαλωώομεν.

Μεγαλωώομέν σε τὴν παναμώμον Μητέρα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἐν ᾗ ἐπεσκίασε τὸ πνεῦμα τὸ ἅγιον.

Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ, ἐν πυρὶ καὶ βάτῳ τόκον τῆς τῆς ἀειπαρθένου, εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν, ὕμνοις ἀσιγήτοις μεγαλυνώομεν.

Ἡ ἀναγραφεῖσα εἰς τὰ ἅγια τῶν ἁγίων, καὶ τεκοῦσα τὸ φῶς τῆς οἰκουμένης, κεχαριτωμένη χαῖρε, ὕμνοις τὸν τόκον σου μεγαλωώομεν.

Σὲ τὴν οὐρανοῦ καὶ γῆς μεσίτην, πᾶσαι αἱ γενεαὶ μακαρίζομεν· σωματικῶς γὰρ ἐνῴκησεν ἐν σοὶ, τὸ πλήρωμα παρθένε τῆς θεότητος.

Ἀλλότριον τῶν Μητέρων ἡ παρθενία, καὶ ξένον ταῖς παρθένοις ἡ παιδοποιία, ἐπὶ σοὶ Θεοτόκε, ἀμφότερα ᾠκονομήθη. διόσε πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ἀπαύστως μεγαλωώομεν.

Σὲ τὴν ἄφλεκτον, ἣν προεώρα Μωϋσῆς, ἀκαταφλέκτως καιομένην ποτὲ, τῷ τῆς θεότητος πυρὶ, ὡς ἀφλέκτως κυήσασαν τὸν Κύριον, σεσαρκωμένον Θεὸν, ἐν ὕμνοις ἀσιγήτοις μεγαλωώομεν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐν εὐφροσύνῃ πάντες, τῇ παρθένῳ τὸ χαῖρε βοήσωμεν, ἡ κεχαριτωμένη Μαρία Θεόνυμφε, σὲ ὡς Μητέρα τοῦ Θεοῦ, οἱ πιστοὶ ἅπαντες ὁμοφρόνως μεγαλύνωμεν.

Σιγάτω αἱρετικῶν τὰ στόματα, τῶν μὴ κυρίως Θεοτόκον ὁμολογούντων σε, σὲ γὰρ ἄνωθεν οἱ Προφῆται προεκήρυξαν, Μητέρα γενέσθαι Θεοῦ, καὶ μεσίτην τοῦ γένους ἡμῶν, διό σε παρθένε μεγαλύνομεν.

Τὸν ληστὴν μιμούμενος ὁ τάλας ἐγὼ, ὁμολογῶν σοι κραυγάζω ἕνα τὸν ἐκ Πατρὸς, καὶ ἐκ παρθένου, ἀφράστως σαρκωθέντα, καὶ δι' ἐμὲ γεγονότα κατ' ἐμὲ, ἀλλ' ὡς φῶς νοερὸν ἥλιε, ἀμνημονήσας τῶν κακῶν, ἐν τῇ Βασιλείᾳ σου μνήσθητί μου, ὅταν κριτὴς Κύριε, καθίσῃς ἐπὶ Θρόνου.

Σωματώσεως θείας ὄργανον παρθένε γέγονας, καὶ τῆς τοῦ λόγου πρὸς τὴν ἐκ σοῦ σάρκα μίξεως νυμφών. ἡνωμέναις γὰρ οὐσίαις, διπλαῖς ἐνεργείαις, καὶ θελήσεσι δεικνύμενον τέτοκας. ὃν ὑμνοῦντες σὲ Θεοτόκε μεγαλύνομεν.

Τὴν ἁγίαν ἐνδόξως τιμήσωμεν λαοὶ Θεοτόκον, τὴν τὸ πῦρ τῆς θεότητος δεξαμένην ἐν γαστρὶ ἀφλέκτως, ἐν ὕμνοις μεγαλύνομεν.

Σὲ τὴν πλατυτέραν τῶν οὐρανῶν Θεοτόκε, καὶ φωτεινοτέραν τοῦ ἡλίου, ὕμνοις μεγαλύνομεν.

Τέλος τῶν εἱρμῶν καὶ τῷ Θεῷ χάρις.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

# ΜΕΓΑΛΥΝΑΡΙΑ,

## Ψαλλόμενα ἐν ταῖς θείαις, καὶ ἱεραῖς Λειτουργίαις, καὶ ὅπου ἂν βούλῃ, πρὸς τὴν τιμιωτέραν.

## Εἰς τὴν ἁγίαν Τριάδα.

*Ὑμνήσωμεν πάντες θεοπρεπῶς, ἄσμασιν ἐν θείοις, τὸν Πατέρα, καὶ τὸν υἱὸν, καὶ Πνεῦμα τὸ θεῖον, τρισυπόστατον κράτος, τὴν μίαν Βασιλείαν, καὶ κυριότητα.*

*Ἣν ὑμνοῦσιν πάντες οἱ γηγενεῖς, καὶ δοξολογοῦσιν αἱ δυνάμεις τῶν οὐρανῶν, τὴν ὑπὸ τῶν πάντων πιστῶς προσκυνουμένην, μονάδα κατ' οὐσίαν τὴν τρισυπόστατον.*

*Τὴν Κυριαρχίαν τῶν Χερουβὶμ, καὶ τὴν Θεαρχίαν ἀσυγκρίτως τῶν Σεραφὶμ, τὴν ἀδιαιρέτως Τριάδα ἐν μονάδι, καὶ ὄντως Θεαρχίαν σὲ μεγαλύνομεν.*

*Πατέρα τὸν ἄναρχον, καὶ Θεὸν, συνάναρχον λόγον, σὺν τῷ Πνεύματι προσκυνῶ, ἀχώριστον μίαν, ἡνωμένην οὐσίαν, τρισάριθμον μονάδα, ὕμνοις τιμήσωμεν.*



ΠΑΝΕΠΙΣΤ... ΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὰς ἀκτινοβόλους σου ἀστραπὰς, λάμψον μοι Θεέ μου τρισυπόστατε παντουργὲ, καὶ εἰκόνα δεῖξον τῆς ἀπροσίτου δόξης, φαιδρὸν καὶ φωτοφόρον, καὶ ἀναλλοίωτον.

Ὦ τριὰς ἁγία, καὶ φωταυγὴς, δέξαι με τὸν ἄσωτον, Ἰησοῦ μου καὶ ποιητὰ, σῶσον μὴ παρίδῃς, τῶν σῶν χειρῶν τὸ πλάσμα, οἰκτιρμῶν ἐλεήμων, Κύριε σῶσόν με.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, τοῦ δοξάζειν σε τὸν Θεὸν λόγον. ὃν φρίττει, καὶ τρέμει τὰ Χερουβὶμ, καὶ δοξολογοῦσιν αἱ δυνάμεις τῶν οὐρανῶν, τὸν ἐξαναστάντα τριήμερον ἐκ τάφου, Χριστὸν τὸν ζωοδότην φόβῳ δοξάσωμεν.

Ὃν φρίττει, καὶ τρέμει τὰ Χερουβὶμ, καὶ δοξολογοῦσι τῶν Ἀγγέλων αἱ στρατιαὶ, τὸν ἐκ τῆς παρθένου ἀφράστως σαρκωθέντα, Χριστὸν τὸν ζωοδότην φόβῳ δοξάσωμεν.

Ἰησοῦ γλυκύτατε Ἰησοῦ, Ἰησοῦ σωτὴρ τῆς ψυχῆς μου τὰ δεινά μου χαλεπὰ, θεράπευσον πάθη Χριστέ μου Ἰησοῦ μου, καὶ σῶσον Ἰησοῦ μου τοὺς ἀνυμνοῦντάς σε.

Δέσποτα φιλάνθρωπε Βασιλεῦ, μὴ ἀκούσω ποτὲ ἐν ἡμέρᾳ τῇ φοβερᾷ, φωνῆς τῆς ὀργῆς σου, εἰς πῦρ ἀποπεμπούσης, ἀλλ' οἴκτειρον, καὶ σῶσον ὡς ὑπεράγαθος.

Τὸν ἀνυψωθέντα ἐν τῷ σταυρῷ ἐν τόπῳ κρανίου, καὶ σα-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λύσαντα πᾶσαν γῆν, Ἥλιος ὡς εἶδε κρεμάμενον ἐν ξύλῳ, τὸ φῶς διεπλονήθη, καὶ γῆ σαλεύεται.

Τοὺς τετειχισμένους τῷ σῷ σταυρῷ, καὶ ἐγκαυχωμένους τοῖς παθήμασί σου σωτὴρ, στήριξον ἐν πέτρᾳ τῶν ἐντολῶν σου λόγε, καὶ ἡμᾶς ἀναδείξας τῆς Βασιλείας σου.

Χαῖρε σκῆπτρον ἅγιον τοῦ Χριστοῦ, σταυρὲ ζωηφόρε, καύχημα τῶν Χριστιανῶν, ἀνάκτων τὸ κλέος, καὶ δόξα ἱερέων, δαιμόνων καθαιρέτα, σταυρὲ πανάγιε.

Χαίροις τὸ τριπόθητον τοῦ σταυροῦ, πανάγιον ξύλον, ζωηφόρε θεῖε σταυρὲ, ἐν σοὶ γὰρ ὁ πάντων Θεός τε καὶ δεσπότης, ἐξέτεινε τὰς χεῖρας, διὰ τὸ σῶσαι ἡμᾶς.

Σταυρὲ τρισμακάριστε τοῦ Χριστοῦ, σὲ πάντες τιμῶμεν, προσκυνοῦμεν πανευσεβῶς, καὶ φόβῳ, καὶ πόθῳ, καὶ χαρᾷ, καὶ ἀγάπῃ, χείλεσιν ἀναξίοις κατασπαζόμεθα.

## Εἰς τὴν Μεταμόρφωσιν.

Θέλων ἐπιδεῖξαι τοῖς μαθηταῖς, δύναμιν ἐξ ὕψους, καὶ σοφίαν παρὰ Πατρὸς, εἰς ὄρος ἀνῆλθες Χριστὲ τῷ Θαβορίῳ, καὶ λάμψας ὡς δεσπότης πάντας ἐφώτισας.

Θεοτοκία.

Ἐκ νεκρῶν ἰδοῦσα τὸν σὸν υἱὸν, ἄχραντε παρθένε, ἀναστάντα θεοπρεπῶς, χαρᾶς ἀνεκφράστου, ἡ κτίσις ἐπληροῦτο, αὐτὸν δοξολογοῦσα, καὶ σὲ γεραίρουσα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Πόκον σε προεῖδεν ὁ Γεδεών, βλαστήσασαν ῥάβδον ὁ θειότατος Ἀαρών, Μωσῆς ὁ θεόπτης, στάμνον τὸ Μάννα φέρων, ἡμεῖς δὲ Θεοτόκον σε καταγγέλλομεν.

Ὅταν με ἐκ τούτου τοῦ ταπεινοῦ, σώματος χωρίσῃ, τῇ προστάξει ὁ σὸς υἱός, φάνηθί μοι τότε, προστάτις Θκέ, εἰς θείας ἀναπαύσεις καθοδηγοῦσά με.

Ἵλεως γενοῦ μοι τῷ ταπεινῷ, ὅτι πλὴν σοῦ ἄλλην οὐ γινώσκω καταφυγήν, τὸν ἐν ἁμαρτίαις παντίαις ὑπαχθέντα, ἐλέησόν με μόνη Χριστιανῶν ἡ ἐλπίς.

Ὢ τῶν ὑπὲρ ἔννοιαν δωρεῶν, ὢ τῆς ἀπορρήτου, καὶ ἀφράστου διαγωγῆς, ἧς κατηξιώθη τὸ γένος τῶν ἀνθρώπων, Μαρία Θεοτόκε διὰ τοῦ τόκου σου.

Τῶν ἀσωμάτων.

Μιχαὴλ Ἀρχάγγελε τοῦ Χυ, μὴ ἔλθῃς ὡς λέων ἀγριώτατος ἐπ' ἐμέ, μὴ γὰρ τὴν ψυχήν μου ἁρπάσῃς ὡς στρουθίον, ἐν ὥρᾳ τοῦ θανάτου σύ μοι βοήθησον.

Ἔχω σε προστάτην καὶ βοηθόν, φύλακα καὶ σκέπην τῆς ψυχῆς μου τῆς ταπεινῆς, Μιχαὴλ Πρωτάρχα, καὶ μέγα Ταξιάρχα, ἐν ὥρᾳ τοῦ θανάτου σύ μοι βοήθησον.

Χαίροις ἱερώτατε Γαβριήλ, χαίροις πρωτοστάτα, τῶν Ἀγγέλων προμηνυτά, χαίροις ὁ τὸ χαῖρε μηνύσας τῇ παρθένῳ, ἐν Ναζαρὲτ τῇ πόλει, σὲ μεγαλύνομεν.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Δεῦτε εὐφημήσωμεν οἱ πιστοὶ, τοὺς δύο φωστῆρας τοὺς μεγάλους καὶ φωταυγεῖς, Μιχαὴλ τὸν μέγαν, καὶ Γαβριὴλ τὸν θεῖον, τοὺς δύο Ταξιάρχας τοῦ παντοκράτορος.

Τοῦ Προδρόμου.

Τὸν τοῦ Ζαχαρίου θεῖον βλαστὸν, καὶ τῆς Ἐλισάβετ τὴν παγκόσμιον χαρμονὴν, τὴν φωνὴν τοῦ λόγου, τὸν λύχνον τοῦ ἡλίου, τὸν πρόδρομον Κυρίου, ὕμνοις τιμήσωμεν.

Μείζονα κριθέντα τῶν Προφητῶν, σὲ τὸν τῆς ἐρήμου μέγαν ὄντως καθηγητὴν, κήρυκα τὸν θεῖον, καὶ βαπτιστὴν Κυρίου, τὸν πρόδρομον τὸν μέγαν ὕμνοις δοξάσωμεν.

Τῶν Ἀποστόλων.

Πέτρε θεῖον ἅρμα Χερουβικὸν, οὐράνιε Παῦλε, ὄχημά τε Σεραφικὸν, ἡ πύρινος γλῶσσα τοῦ θεανθρώπου λόγου, πυρός με τῆς γεέννης ἀπολυτρώσασθε.

Τὰς εὐήχους σάλπιγγας τοῦ Χριστοῦ, νῦν τοὺς Ἀποστόλους εὐφημήσωμεν οἱ πιστοὶ, τοὺς τὴν οἰκουμένην διδάξαντας πιστεύειν, τὴν σάρκωσιν τοῦ λόγου, καὶ τὴν ἀνάστασιν.

Τῆς Θεολογίας τὸν ἀρχηγὸν, τὸν ἠγαπημένον Ἰωάννην καὶ μαθητὴν, τὸν ἐπὶ τὸ στῆθος Χριστοῦ ἀναπεσόντα, τὸν μέγαν Θεολόγον, πάντες ὑμνήσωμεν.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, τοῦ δοξάζειν σε τὸν θεῖον ὄρος, τῶν Πατρῶν τὸν θεῖον ὑπασπιστὴν, καὶ τῆς

Ἀχαΐας

Ἀχαΐας ἀντιλήπτορα τὸν θερμὸν, Ἀνδρέαν τὸν μέγαν, καὶ μύστην τοῦ σωτῆρος, πρωτόκλητον φανέντα, πάντες ὑμνήσωμεν.

Τοῦ ἁγίου Γεωργίου.

Ἄστρον ἀνατέταλκεν φαεινὸν, ἐκ τῶν Καππαδόκων, ὁ πολύαθλος τοῦ Χριστοῦ, μάρτυς καὶ φωτίζει πιστῶν ἅπαν τὸ πλῆθος, Γεώργιος ὁ μέγας, ὃν νῦν γεραίρομεν.

Φύλαττε τοὺς δούλους ὦ ἀθλητὰ, τοὺς ἀθροιζομένους ἐν τῷ οἴκῳ σου τῷ σεπτῷ, καὶ μετ᾽ εὐλαβείας καὶ πόθῳ σε ὑμνοῦντας, Γεώργιε τρισμάκαρ, ἀξιοθαύμαστε.

Εἰς Μάρτυρας.

Τὸν ἐν ἀθλοφόροις θαυματουργὸν, καὶ τὸν ἐν ἀνάγκαις ἀπροσμάχητον βοηθὸν, τὸν θεῖον ὁπλίτην, καὶ μάρτυρα κυρίου, Γεώργιον τὸν μέγαν, πάντες τιμήσωμεν.

Τοῦ ἁγίου Δημητρίου.

Τὸν μέγαν ὁπλίτην, καὶ ἀθλητὴν, καὶ στεφανηφόρον ἐν τοῖς μάρτυσι θαυμαστὸν, τὸν λόγχῃ τρωθέντα πλευρὰν ὡς ὁ δεσπότης, Δημήτριον τὸν θεῖον, ὕμνοις τιμήσωμεν.

Χαίροις τῶν Μαρτύρων κλέος στερρὸν, ὄντως ἀθλοφόρε, μυροβλῆτα, καὶ τῶν πιστῶν, ὁ λόγχῃ πλευρὰν σου νυγεὶς ὡς ὁ δεσπότης, ῥείθροις τῶν σῶν αἱμάτων πάντας ἁγίασον.

Τοῦ ἁγίου Θεοδώρου.

Φρούρει τὴν σὴν ποίμνην ὦ ἀθλητὰ, μάρτυς τοῦ Κυρίου,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοὺς τιμῶντάς σε εὐσεβῶς, καὶ πανευχαρίστως, καὶ λαοῦ ἐγκλημάτων, Θεόδωρε τρισμάκαρ ἀξιοθαύμαστε.

Εἰς τὸν μέγαν Βασίλειον.

Τὸν οὐρανοφάντορα τοῦ Χριστοῦ, μύστην τοῦ δεσπότου, τὸν φωστῆρα τὸν φαεινὸν, τὸν ἐκ Καισαρείας, καὶ Καππαδόκων χώρας, Βασίλειον τὸν μέγαν, πάντες ὑμνήσωμεν.

Εἰς τὸν ἅγιον Γρηγόριον τὸν Θεολόγον.

Τῆς Θεολογίας τὸν θησαυρὸν, καὶ τῶν Θεολόγων ἀνεπίληπτον ὁδηγὸν, τὸν θεῖον ποιμένα καὶ λειτουργὸν Κυρίου, Γρηγόριον τὸν μέγαν πάντες ὑμνήσωμεν.

Εἰς τὸν ἅγιον Ἰωάννην τὸν Χρυσόστομον.

Χαίροις ὁ χρυσέρρειθρος ποταμὸς, ὁ τὴν οἰκουμένην καταρδεύων νάμα χρυσοῦν, χαίροις ὁ τὴν γλῶτταν χρυσοῦς, καὶ τὴν καρδίαν, Χρυσόστομε τρισμάκαρ, Πατριαρχῶν ἡ κρηπίς.

Τῶν τριῶν Ἱεραρχῶν.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοὶ, τοὺς τρεῖς Ἱεράρχας, τοὺς μεγάλους, καὶ φωταυγεῖς, Βασίλειον ἅμα, τῷ σοφῷ Γρηγορίῳ, τὸν μέγαν Ἰωάννην, πάντες δοξάσωμεν.

Τοῦ ἁγίου Νικολάου.

Ὀρφανῶν προστάτην σε καὶ χηρῶν, πεινόντων τροφέα, πενομένων τε πλουτιστὴν, αἰχμαλώτων ῥύστην, καὶ πλεόντων σωτῆρα, κεκτήμεθα παμμάκαρ, σοφὲ Νικόλαε.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὕψωσον παλάμας σου πρὸς Θεὸν, ὑπὲρ τοῦ λαοῦ σου, Ἱεράρχα Πάτερ σοφὲ, καὶ παράσχου λύσιν πολλῶν ἀμπλακημάτων, ῥυσθῆναι τῆς μελλούσης φρικτῆς κολάσεως.

Τοῦ ἁγίου Σπυρίδωνος.

Χαίροις τῶν θαυμάτων ὁ ποταμὸς, Χαίροις ἀσθενούντων, καὶ πασχόντων ὁ ἰατρὸς, Χαίροις τῶν λογίων τοῦ πνεύματος ὁ σπόρος, Σπυρίδων Τριμυθοῦντος ποιμὴν τρισόλβιε.

Εἰς τὸν ἅγιον Μητροφάνην, τὸν πρῶτον Πατριάρχην Κωνσταντινουπόλεως.

Χαίροις τῶν πατέρων ἡ καλλονὴ, Χαίροις τῶν ὁσίων κανὼν θεῖος ἐν ἀρετῇ, Χαίροις Ἐκκλησίας, ὡραῖσμα, καὶ κλέος, Βάθρον Πατριαρχείας, Πάτερ Μητρόφανες.

Ἔνδοξοι Ἀπόστολοι τοῦ Χριστοῦ, Μάρτυρες κυρίου, καὶ πανθαύμαστοι ἀθληταὶ, Προφητῶν ὁ δῆμος, Ἱεραρχῶν ὁσίων, ποιήσατε πρεσβείαν ὑπὲρ ἡμῶν πρὸς Θεόν.

Τοὺς ἁγίους πάντας εὐφημῶ, Προφήτας ὁσίους, Ἀποστόλους καθηγητὰς, Μαρτύρων τὴν πᾶσαν ὁμήγυριν συμφώνως, καὶ πάντας τοὺς ἁγίους πόθῳ τῷ φόβῳ ὑμνῶ.

Εἰς τὴν ἁγίαν Ἄνναν.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοὶ, Ἄνναν τὴν ἁγίαν,

τὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

τὴν προμήτορα τοῦ Χριστοῦ, τὴν ἀξιωθεῖσαν γεννῆσαι τὴν παρθένον, τὴν μόνην θεοτόκον, καὶ παναμώμητον.

Εἰς τὴν ἁγίαν Μαρίναν. Λέγεται δὲ καὶ εἰς ἑτέρας γυναῖκας ἁγίας Μάρτυρας.

Τὴν λαμπάδα πάντες τὴν φαεινὴν, καὶ τῆς παρθενίας τὸν ἀσύλητον θησαυρὸν, τὴν νύμφην κυρίου, καὶ ἄσπιλον ἀμνάδα, Μαρίναν τὴν ἁγίαν, πάντες ὑμνήσωμεν.

Τὴν μεγαλομάρτυρα τοῦ Χριστοῦ, καὶ τὴν ἐν ἀνάγκαις ἀπροσμάχητον βοηθὸν, τὴν νύμφην Κυρίου, καὶ ἄσπιλον ἀμνάδα, Παρασκευὴν τὴν θείαν, πάντες ὑμνήσωμεν.

Χαίροις Θεοδώρα πανευκλεὴς, χαίροις εὐσεβείας ἀνακήρυξις ἀληθὴς, Χαίροις παῤῥησίαν ἐν Θεῷ κεκτημένη, Αὔγουστα καὶ ὁσία ἀειμακάριστε.

Μεγαλυνάρια τῆς ἑβδομάδος. τῇ β'.

Τῶν ἀσωμάτων.

Τοῦ ἀρχιστρατήγου καὶ Μιχαὴλ, καὶ τοῦ Ἀρχαγγέλου τὸ μελώδημα Γαβριὴλ, μυστήριον ξένον τοῦ Θεοῦ τὸ δοχεῖον. Χαρὰ γὰρ τῶν Ἀγγέλων, πιστῶν τὸ καύχημα.

Ἄγγελοι, Ἀρχάγγελοι, καὶ Ἀρχαὶ, ἐξουσίαι, Θρόνοι, Κυριότητες, Χερουβὶμ, Σεραφὶμ, δυνάμεις,

ἐξά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐξάπτερυγα θεῖα, καὶ πολυόμματά τε, φρουροί μου γίνεσθε. Θεοτοκίον.

Ὡς ὑπὲρ τὴν ψάμμον τῆς θαλάσσης, ὑπὲρ ἀριθμὸν τῶν ἀστέρων τοῦ οὐρανοῦ, μόνος ἁμαρτήσας, μόνος καὶ κατεκρίθην. ὦ δέσποινα τοῦ κόσμου, σύ με διάσωσον.

Τῇ Γ΄. τοῦ προδρόμου.

Τὸν τῆς μετανοίας καθηγητὴν, καὶ τῶν μεναζόντων ἀντιλήπτορα, καὶ φρουρὸν, τὸν ἀπὸ κοιλίας μητρὸς ἡγιασμένον, τὸν πρόδρομον Κυρίου, ὕμνοις τιμήσωμεν. Θεοτοκίον.

Πᾶσαι ὡς προεῖπες αἱ γενεαὶ, σὲ μακαριοῦμεν παμμακάριστε Μαριὰμ, καὶ γὰρ ἐν γαστρί σου τῇ μακαρίᾳ κόρη, ἐχώρησας τὸν πάντων μακαριώτατον.

Θεοτοκίον.

Πρόσδεξαι Κυρία Μήτηρ Χριστοῦ, ὕμνον σοῦ οἰκέτου ταπεινοῦ καὶ ἁμαρτωλοῦ, κατακεκρυμμένου καὶ βεβορβορωμένου, ἐκ βάθους τῆς καρδίας, καὶ μὴ παρίδῃς με.

Τῇ Δ΄. Τοῦ τιμίου σταυροῦ.

Ὑμνοῦσι τὴν σταύρωσιν ἀγαθὲ, ὑμνοῦσι τὰ πάθη, προσκυνοῦσι καὶ τὴν ταφὴν, τοὺς ἥλους, τὴν λόγχην, τὸν κάλαμον, τὸν σπόγγον, τὰ πάντα προσκυνοῦσι Σῶτερ μακρόθυμε.

Τοῦ σταυροῦ τὸ ξύλον πάντες πιστοὶ, δεῦτε ἀνυμνοῦμεν, καὶ ἐρῶμεν περιχαρῶς, αὐτὸς γὰρ καθεῖλε τὴν

πλάνην τῶν εἰδώλων, καὶ ἔσωσε τοὺς πίστει, Μακαρίζοντας αὐτόν. Θεοτοκίον.

Ἄχραντε παρθένε Μήτηρ Θεοῦ, καὶ δεδοξασμένη ὑπὲρ πᾶσαν φύσιν βροτῶν, ἀκήρατε κόρη, ἁγία Θεοτόκε, περίσωζε τοὺς πίστει, σὲ μεγαλύνοντας.

Τῇ ε. τῶν Ἁγίων Ἀποστόλων, καὶ τοῦ Ἁγίου Νικολάου.

Πέτρον, Παῦλον, Μάρκον σὺν τῷ Λουκᾷ, Φίλιππον, Ματθαῖον, Ἰωάννην, Σίμων, Θωμᾶν, τὸ κλεινὸν Ἀνδρέαν, σὺν θείῳ Ἰακώβῳ, καὶ τὸν Βαρθολομαῖον πάντες ὑμνήσωμεν.

Νικόλαον πάντες τὸν ἰατρὸν, ψυχῶν καὶ σωμάτων εὐφημήσωμεν οἱ πιστοί, Χαίροις Ἱεράρχα Μύρεων τῆς Λυκίας, Περίσωζε τοὺς πίστει, σὲ μεγαλύνοντας. Θεοτοκίον.

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν δέσποιναν τοῦ κόσμου ὕμνοις τιμήσωμεν. Τῇ παρασκευῇ.

Θέλων ἐσταυρώθης ὦ λυτρωτὰ, καὶ ἐξ ἱματίων ὑπεράγαθε δι᾽ ἐμὲ, καὶ λόγχη ἐξωσθεῖς τὴν ἄχραντον πλευράν σου, ὑμνῶ τὰ μεγαλεῖα τῆς σῆς θεότητος.

Τὴν ζωὴν ὁρῶσα ἐν τῷ σταυρῷ, κόρη κρεμαμένην, ἀνελάλαζες μητρικῶς. τὴν τῶν Ἰουδαίων

ἀπώλειαν θρηνοῦσα τῶν μὴ ὁμολογούντων Θεὸν καὶ Κύριον.

Τὸ θυμιατήριον τὸ χρυσοῦν, τὴν στάμνον τὴν ῥάβδον, τὴν λυχνίαν τὴν θεαυγῆ, τὸν τόμον, τὸν θεῖον, ἐν ᾧ Θεοῦ δακτύλῳ, ὁ λόγος ἐγεγράφει, σὲ μεγαλύνομεν.

Τῷ Σαββάτῳ νεκρώσιμα.

Ἀνάπαυσον Κύριε τὰς ψυχὰς, τῶν προκοιμηθέντων ὀρθοδόξων Χριστιανῶν, ἐν τόπῳ ἁγίῳ, ἐν χώρᾳ τῶν δικαίων, ὅπου τὸ φῶς σου λάμπει, τούτους κατάταξον.

Ταῖς τῶν Ἀποστόλων σου προσευχαῖς, Προφητῶν, Μαρτύρων, καὶ ὁσίων Ἱεραρχῶν, πάντων τῶν ὁσίων, ψυχὰς ἃς προσελάβου, ἀνάπαυσον οἰκτίρμων, ὡς ὑπεράγαθος.

Χαῖρε τῶν Ἀγγέλων ἡ χαρμονὴ, καὶ τῶν Ἀποστόλων, Ἀρχαγγέλων, καὶ Προφητῶν, Μαρτύρων ὁσίων, καὶ πάντων τῶν δικαίων, Ἀνύμφευτε παρθένε, σκέπε τὴν πόλιν σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαὶ, πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκὰς, Οἱ ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, Ποιήσατε πρεσβείαν, εἰς σωθῆναι ἡμᾶς.

Κατανυκτικόν.

Καὶ ὑπέρ Βίλω, καὶ Μανασσῆ, ἄσωτον, ἐ πόρν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸν τελώνlω, ἐ τὸν λῃςlὼ, κ̀ τȣ̃ Φαρισαίȣ τlὼ ὑψηλοφροσιώlω· διὸ ἐν μετανοίᾳ Κύριε σῶσόν με.

Ἕτερον, Ἦχος Β'.

Πρόσδεξαι Κύριε τlὼ δέησιν ἡμῶν τῶν ἁμαρτωλῶν. ὡς προσεδέξω Ἀβραὰμ τlὼ θυσίαν, κ̀ Πέτρ[ȣ] τlὼ μετάνοιαν, τȣ̃ τελώνȣ τὸν ςεναγμὸν, κ̀ τῆς πόρνης τὰ δάκρυα, μυροφόρων γυναικῶν τὰ θυμιάματα, τȣ̃ λῃςȣ̃ τlὼ ὁμολογίαν ἐπὶ τὸν ςαυρὸν, καὶ ἐλέησον ἡμᾶς Σωτὴρ δεομένȣς σȣ. τῆς ὀργῆς σȣ τlὼ ἀγανάκτησιν εἰς εἰρlὼlω μετάβαλλε. καὶ σῶσον τὸν κόσμον σȣ, μόνε φιλάνθρωπε.

# ΜΕΓΑΛΥΝΑΡΙΑ,

## Ψαλλόμενα κατὰ τάξιν εἰς τὰς δεσποτικὰς ἑορτάς, εἰς τὴν ἐννάτην ᾠδήν. Μηνὶ Νοεμβρίῳ.

### Εἰς τὴν Εἴσοδον, ἦχος Α΄.

Μεγάλυνον ψυχή μου, τὴν προσενεχθεῖσαν ἐν τῷ ναῷ Κυρίου, καὶ εὐλογηθεῖσαν χερσὶ τῶν ἱερέων. ΗΧΟΣ Δ΄.

Ἄγγελοι τὴν εἴσοδον τῆς πανάγνου, ὁρῶντες ἐξεπλήττοντο, πῶς παραδόξως εἰσῆλθεν εἰς τὰ ἅγια τῶν ἁγίων. Τῶν Χριστουγεννῶν.

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

Μεγάλυνον ψυχή μου, τὸν ἐκ τῆς παρθένου Θεὸν σαρκὶ τεχθέντα.

Μεγάλυνον ψυχή μου, τὸν ἐν τῷ σπηλαίῳ τεχθέντα Βασιλέα.

Μεγάλυνον ψυχή μου, τὸν ὑπὸ τῶν μάγων Θεὸν προσκυνηθέντα.

Μεγάλυνον ψυχή μου, τὸν ὑπὸ ἀστέρος τοῖς μάγοις μηνυθέντα.

Μεγάλυνον ψυχή μου, τὴν ἁγνὴν παρθένον, καὶ μόνην θεοτόκον, τὴν γεννησαμένην Χριστὸν τὸν Βασιλέα.

Μάγοι καὶ ποιμένες, ἦλθον προσκυνῆσαι Χριστὸν τὸν γεννηθέντα, ἐν Βηθλεὲμ τῇ πόλει.

Σήμερον ἡ παρθένος, τίκτει τὸν δεσπότην ἔνδον ἐν τῷ σπηλαίῳ.

Σήμερον ὁ δεσπότης, τίκτεται ὡς βρέφος ὑπὸ Μητρὸς Παρθένου.

Σήμερον οἱ ποιμένες, βλέπουσι τὸν σωτῆρα, σπαργάνοις εἰλημμένον, καὶ κείμενον ἐν φάτνῃ.

Σήμερον ὁ δεσπότης, ῥάκει σπαργανοῦται, ὁ ἀναφὴς ὡς βρέφος.

Σήμερον πᾶσα κτίσις, ἀγάλλεται καὶ χαίρει, ὅτι Χριστὸς ἐτέχθη ἐκ τῆς παρθένου κόρης.

Οὐράνιε δυνάμεις, τεχθέντα τὸν σωτῆρα, Κύριον καὶ δεσπότην, μηνύουσι τῷ κόσμῳ. Δόξα.

Μεγάλυνον ψυχή μου, τῆς τρισυποστάτου, καὶ ἀδιαιρέτου θεότητος τὸ κράτος. Θεοτοκίον.

Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας.

## Εἰς τὴν Περιτομήν.

Μεγάλυνον ψυχή μου, τὸν κατὰ τὸν νόμον σαρκὶ περιτμηθέντα.

Μεγάλυνον ψυχή μου, τὸν ἐν τῇ ὀγδόῃ περιτομὴν λαβόντα.

Σήμερον ὁ δεσπότης, τέμνεται τὴν σάρκα ὡς βρέφος πληρῶν τὸν νόμον.

Σήμερον ὁ δεσπότης, σαρκὶ περιετμήθη, καὶ Ἰησοῦς ἐκλήθη.

Εἰς τὸν μέγαν Βασίλειον.

Μεγάλυνον ψυχή μου, τὸν ἐν Ἱεράρχαις Βασίλειον τὸν μέγαν.

Μεγάλυνον ψυχή μου, τὸν τῆς οἰκουμένης ὑπέρλαμπρον φωστῆρα.

Μεγάλυνον ψυχή μου, τὸν ἐκ Καισαρείας Βασίλειον τὸν μέγαν.

Μεγάλυνον ψυχή μου, τὸν κεκοσμηκότα Χριστοῦ τὴν Ἐκκλησίαν.

## Εἰς τὰ ἅγια Θεοφάνεια.

ΜΕγάλυνον ψυχή μου, τὴν τιμιωτέραν τῶν ἄνω στρατευμάτων.

Μεγάλυνον ψυχή μου, τὸν ὑπὸ προδρόμου τὸ βάπτισμα αἰτοῦντα.

Μεγάλυνον ψυχή μου, τὸν ἐν Ἰορδάνῃ ἐλθόντα βαπτισθῆναι.

Μεγάλυνον ψυχή μου, τὸν ἐκ τῆς πατρῴας φωνῆς μαρτυρηθέντα.

Μεγάλωυσον ψυχή μου, τὸν ἐν τῇ τῆς Τριάδος κλίναντα τὸν αὐχένα, καὶ βάπτισμα λαβόντα.

Προφῆτα δεῦρο πρός με, ἔκτεινον τὴν χεῖρα, καὶ βάπτισόν με τάχος.

Προφῆτα ἄφες ἄρτι, καὶ βάπτισόν με θέλων, πληρῶσαι γὰρ ἦλθον πᾶσαν δικαιοσύνην.

Σήμερον ὁ δεσπότης, κλίνει τὸν αὐχένα, ὑπὸ χειρὸς προδρόμου.

Σήμερον Ἰωάννης, βαπτίζει τὸν δεσπότην, ἐν ῥείθροις Ἰορδάνου.

Σήμερον ὁ δεσπότης, νάμασιν ἐν θάπτει βροτῶν τὴν ἁμαρτίαν.

Σήμερον ὁ δεσπότης, ἄνωθεν μαρτυρεῖται υἱὸς ἠγαπημένος.

Σήμερον ὁ δεσπότης, ἦλθεν ἁγιάσαι τὴν φύσιν τῶν ὑδάτων.

Σήμερον ὁ δεσπότης, τὸ βάπτισμα λαμβάνει χειρὶ τῇ τοῦ προδρόμου.

## Εἰς τὴν ὑπαπαντήν.

Ἀκατάληπτόν ἐστι, τὸ τελούμενον ἐν σοί, καὶ Ἀγγέλοις, καὶ βροτοῖς μητροπάρθενε ἁγνή.

Ἀγκαλίζεται χερσίν, ὁ πρεσβύτης Συμεών, τὸν τοῦ νόμου ποιητήν, καὶ δεσπότην τοῦ παντός.

Βουληθεὶς ὁ πλαστουργὸς, ἵνα σώσῃ τὸν Ἀδὰμ, Μήτραν ᾤκησε τὴν σὴν τῆς παρθένου καὶ ἁγνῆς.

Γένος ἅπαν τῶν βροτῶν, μακαρίζουσι ἁγνὴ, καὶ δοξάζουσι πιστῶς, ὡς Μητέρα τοῦ Θεοῦ.

Δεῦτε ἴδετε Χριστὸν, τὸν δεσπότην τοῦ παντὸς, ὃν βαστάζει Συμεὼν, σήμερον ἐν τῷ ναῷ.

Ἐπιβλέπεις πρὸς τὴν γῆν, καὶ ποιεῖς τρέμειν αὐτὴν, καὶ πῶς γέρων κεκμηκὼς, σὲ κατέχει ἐν χερσί:

Ζήσας ἔτι Συμεὼν, ἕως ἴδε τὸν Χριστόν. καὶ ἐβόα πρὸς αὐτὸν, νῦν ἀπόλυσιν ζητῶ.

Ἡ λαβὶς ἡ μυστικὴ, ἡ τὸν ἄνθρακα Χριστὸν, συλλαβοῦσα ἐν γαστρὶ, σὺ ὑπάρχεις Μαριάμ.

Θέλων ἐνανθρώπησας, ὁ προάναρχος Θεὸς, καὶ ναῷ [illegible]φέρεσαι τεσσαρακονθήμερος.

Κατελθὼν ἐξ οὐρανοῦ, ὁ δεσπότης τοῦ παντὸς, ὑπεδέξατο αὐτὸν Συμεὼν ὁ ἱερεύς.

Λάμπρυνόν μου τὴν ψυχὴν, καὶ τὸ φῶς τὸ αἰσθητὸν: ὅπως ἴδω καθαρῶς, καὶ κηρύξω [illegible] Θεόν.

Μητροπάρθενε ἁγνὴ, τί προσφέρεις τῷ ναῷ, νέον βρέφος ἄποδος, ἐν ἀγκάλαις Συμεών.

Νῦν ἀπόλυσιν ζητῶ, ὑπὸ σοῦ τοῦ πλαστουργοῦ, ὅτι ἴδόν σε Χριστὲ, τὸ σωτήριον μου φῶς.

Ὃν οἱ ἄνω λειτουργοὶ, τρέμω λιτανεύουσι, κάτω [illegible] ὁ Συμεὼν, ἀγκαλίζεται χερσί. Δόξα

Ἡ τῇ οὐσίᾳ μὲν μονὰς, τοῖς προσώποις δὲ τρι-

φύλαττε τοὺς δούλους σου, τοὺς πιστεύοντας εἰς σέ.

Θεοτοκίον.

Θεοτόκε ἡ ἐλπὶς, πάντων τῶν χριστιανῶν, σκέπε φρούρει φύλαττε, τοὺς ἐλπίζοντας εἰς σέ.

# Εἰς τὸ Ἅγιον Πάσχα.

Μεγάλυνον ψυχή μου, τὸν ἐξαναστάντα τριήμερον ἐκ τάφου, Χριστὸν τὸν ζωοδότην.

Μεγάλυνον ψυχή μου, τὸν ἐθελουσίως παθόντα καὶ ταφέντα, καὶ ἐξαναστάντα τριήμερον ἐκ τάφου.

Χριστὸς τὸ καινὸν Πάσχα, τὸ ζωόθυτον θῦμα, ἀμνὸς Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν κόσμου.

Ὁ Ἄγγελος ἐβόα τῇ κεχαριτωμένῃ, ἁγνὴ Παρθένε χαῖρε, καὶ πάλιν ἐρῶ χαῖρε, ὁ σὸς υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

Μαγδαληνὴ Μαρία, προσέδραμε τῷ τάφῳ, [illegible] Χριστὸν ἰδοῦσα, ὡς κηπουρὸν ἠρώτα.

Ἄγγελος ἐξαστράπτων, ταῖς γυναιξὶν ἐβόα, παύσασθε τῶν δακρύων, ὅτι Χριστὸς ἀνέστη.

[illegible]ξύπνησας ὑπνώσας, νεκροὺς τοὺς ἀπ' αἰῶνος, [illegible] σιλικῶς βρυχήσας, ὡς [illegible] Ἰούδα λέων.

[illegible] Χριστὸς ἀνέστη, τὸν θάνατον πατήσας, καὶ [illegible] κροὺς ἐγείρας, λαοὶ ἀγαλλιᾶσθε.

[illegible]ήμερον πᾶσα κτίσις, ἀγάλλεται καὶ χ[illegible]

Χρι

Χριστὸς ἀνέστη, καὶ ᾅδης ἐσκυλεύθη.

Σήμερον ὁ δεσπότης, ἐσκύλευσε τὸν ᾅδην, ἐγείρας τοὺς δεσμίους, οὓς ἀπ' αἰῶνος εἶχε, δεινῶς κεκρατημένους. Δόξα.

Μεγάλυνον ψυχή μου, τῆς τρισυποστάτου, καὶ ἀδιαιρέτου Θεότητος τὸ κράτος. Θεοτοκίον.

Χαῖρε παρθένε χαῖρε, Χαῖρε εὐλογημένη, Χαῖρε δεδοξασμένη, σὸς γὰρ υἱὸς ἀνέστη, τριήμερος ἐκ τάφου. Εἰς τὴν Ἀνάληψιν.

Ἄγγελοι τὴν ἄνοδον τοῦ δεσπότου, ὁρῶντες ἐξεπλήττοντο, πῶς μετὰ δόξης ἐπήρθη ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω. Εἰς τὴν κοίμησιν τῆς Θεοτόκου.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον.

Ἄγγελοι τὴν κοίμησιν τῆς πανάγνου, ὁρῶντες ἐξεπλήττοντο, πῶς παραδόξως ἀπαίρει ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

## ΚΑΤΑΒΑΣΙ'ΑΙ ΨΑΛΛΟ'ΜΕΝΑΙ
### Ἐν ὅλῳ τῷ Χρόνῳ.

ΜΗνὶ Νοεμβρίῳ, κα΄. τὸ Χριστὸς γεννᾶται. καὶ ψάλλεται ἕως τῇ πρώτῃ τοῦ Ἰαννουαρίου Μηνός.

Μηνὶ Ἰαννουαρίῳ, ά. τὸ Βυθοῦ ἀνεκάλυψε πυθμένα. καὶ ψάλλεται ἕως τῆ ιδ΄. τοῦ αὐτοῦ Μηνός. ἀπ' αὐτῆς δὲ, Χέρσον ἀβυσσοτόκον. Εἰ δὲ τύχῃ διὰ μέσου ἡ Κυριακὴ τῆς Ἀποκρέου, λέγομεν, Βοηθὸς καὶ σκεπαστής. Τὰς δ' ἄλλας κυριακὰς τῆς ἁγίας Τεσσαρακοστῆς, Ἀνοίξω τὸ στόμα μου.

Κυριακῇ τρίτῃ τῶν νηστειῶν. Ὁ θειότατος προετύπωσ.

Τῇ κυριακῇ τῶν Βαΐων. Ὤφθησαν αἱ πηγαί.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ Πάσχα.

Ἀναστάσεως ἡμέρα, [illegible] θεξῆς ς εἰς τὴν Πεντηκοστήν.

Μετὰ δὲ τὴν Πεντηκοστὴν, τὸ Ἀνοίξω τὸ στόμα μου.

Τῇ πρώτῃ τοῦ Αὐγούστου λέγομεν, Σταυρὸν χαράξας Μωσῆς.

Τῇ ς΄. τοῦ αὐτοῦ Μηνός. Χορὸς Ἰσραήλ. μετὰ δὲ τὴν ἀπόδοσιν τῆς Μεταμορφώσεως, Ἀνοίξω τὸ στόμα μου.

Τῇ ιε τοῦ αὐτοῦ Μηνὸς, ἤτοι τῆς Κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου, Πεποικιλμένη τῇ θείᾳ δόξῃ. Ἀπ' αὐτῆς δὲ, Ἀνοίξω τὸ στόμα μου.

Τῇ ά. τοῦ Σεπτεμβρίου Μηνὸς, Σταυρὸν χαράξας Μωσῆς, καὶ καθεξῆς ἕως εἰς τὴν ἀπόδοσιν τοῦ τιμίου Σταυροῦ. Μετὰ δὲ τὴν ἀπόδοσιν, Ἀνοίξω τὸ στόμα μου.

# ΝΙΚΟΛΑΟΥ ΙΕΡΕΩΣ

## Τοῦ Μαλαξοῦ, Πρωτοπαπᾶ Ναυπλίου, περὶ τῆς σημασίας τῶν ἐρρύθμων δακτύλων τῆς χειρὸς Ἱερέως, ἐν τῷ εὐλογεῖν αὐτὸν τὸν Χριστώνυμον λαόν.

Τὸ μὲν ὄρθιον τοῦ λιχανοῦ δακτύλου, καὶ τὸ ἐπικαμπὲς τοῦ μέσου, τοῦ καὶ σφακέλου λεγομένου, τὸ Ἰησοῦς ὄνομα προδήλως χαρακτηρίζει· τοῦ ὀρθίου τὸ Ι παριστῶντος, τοῦ δὲ καμπύλου τὸ ς· ὅθεν καὶ ἔγγιστα ἀλλήλων οἱ δύο οὗτοι δάκτυλοι οὑτωσίπως δατυπούμενοι, ἀριδήλως τοῦτο ἐμφαίνουσιν. Ἡ δὲ τοῦ ἀντίχειρος, καὶ τοῦ παραμέσου τοῦ καὶ ἐπιβάτου καλουμένου, πρὸς ἀλλήλους πλαγία ἕνωσις, καὶ αὖθις τὸ ἔγγιστα τούτων καμπύλον τοῦ μύωπος, τὸ Χριστὸς ὄνομα σημαίνουσιν ἀμφότερα. Ἡ γὰρ πλαγιότης τοῦ ἀντίχειρος καὶ τοῦ ἐπιβάτου, τὸ Χ στοιχεῖον ἐνδείκνυται. Ὁ δὲ κυρτόσχημος μύωψ, τὸ μετὰ τοῦτο ς. δι' ὧν τὸ Χρι-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ςὸς ὄνομα ὡς εἴρηται δείκνυται. ἵνα δὲ σαφέςερον τοῦτο πρὸς διάγνωσιν ἔχῃ ὁ βουλόμενος, σχηματισάτω τὴν χεῖρα εὐλογοῦσαν, καὶ ἀριδήλως τὸ λεγόμενον, οὐδὲν ἄλλο παραδηλοῦν εὑρήσει, ἢ τὸ τοῦ εὐλογημένου Ἰησοῦ Χριςοῦ ὄνομα, ἐν ᾧ εὐλογοῦνται πάντα τὰ ἔθνη, ὡς ἡ πρὸς τὸν μακάριον Πατριάρχην Ἀβραὰμ ἐπαγγελία γέγονεν. Ἐνευλογηθήσονται γάρ φησιν ἐν τῷ σπέρματί σου πᾶσαι αἱ φυλαὶ τῆς γῆς. οὐκ εἶπε δέ φησιν ὁ θεῖος Ἀπόςολος ἐν τοῖς σπέρμασιν. ἀλλ' ἐν τῷ σπέρματι, ὅς ἐςιν ὁ Χριςός. ἔχειν τοιγαροῦν καὶ τὸν σχηματισμὸν τῆς εὐλογούσης χειρὸς τοὺς ἐν Χριςῷ Ἰησοῦ εὐλογημένους, οὐδὲν ἄλλο σημαίνειν, ἢ αὐτὸ τὸ ὄνομα τοῦ ἐν ᾧ εὐλογούμεθα. Διὰ τοῦτο γὰρ οἶμαι καὶ θειοτέρᾳ προνοίᾳ, οὕτως ἀρχῆθεν ὑπ' αὐτοῦ τοῦ τῶν ὅλων δημιουργοῦ οἱ δάκτυλοι τῆς ἀνθρωπίνης παλάμης ἐξήρτηνται, καὶ οὐ πλείους, οὐδ' ἐλάττονες, ἀλλ' ὅσοι ἂν μὴ περιττῶς, μηδὲ ἐλλιπῶς, ἀλλ' ἀρκούντως πρὸς τὴν τοιαύτην σημασίαν ἔχοντες.

# ΠΕΡΙ' ΣΥΝΟΙΚΕΣΙ'ΩΝ.

## Καὶ τί ἐστι συνοίκησις.

ΣΥνοίκησις λέγεται, διότι ὅταν ἁρμοσθῇ ἕνας ἄνθρωπος μίαν γυναῖκα μὲ τοῦτο ὅλον ὁποῦ ποτὲ οὔτε τὴν εἶδεν, οὔτε τῆς ὡμίλησεν, ἀφ' οὗ τὴν εὐλογηθῇ, πέρνει την εἰς τὴν κατοικίαν του, καὶ συνοικεῖ μετ' αὐτοῦ, τουτέστιν κατοικοῦν καὶ οἱ δύο εἰς ἕνα οἴκημα.

Ἔτι δὲ λέγεται συνοίκησις ὅτι σμίγουνται, καὶ γίνουνται μία σάρκα κατὰ τὸν ὁρισμὸν τοῦ Θεοῦ, μὲ εὐχαῖς καὶ ἱερολογίαις τοῦ ἱερέως νομίμως.

### Πῶς πρέπει νὰ γίνεται τὸ συνοικέσιον.

ΠΡῶτον μὲν θέλει νὰ εἶναι ἐλεύθερον ἀπὸ πάσης συγγενείας διὰ νὰ εἶναι νόμιμον καὶ ἅγιον τὸ μυστήριον. Δεύτερον νὰ φυλάττεται τὸ εὐπρεπὲς εἰς τὴν ἡλικίαν, νὰ μὴν εἶναι ὁ ἀνὴρ γέρων, καὶ ἡ γυνὴ νέα, οὔτε ἡ γυνὴ γραῖα, καὶ ὁ ἀνὴρ νέος, ἀλλὰ νὰ εἶναι καὶ τὰ δύο πρόσωπα σύγχρονα, ἢ ἂν περνᾷ τὸ ἕνα μέρος τοῦ ἀνθρώπου ὀλίγον, καὶ πάλιν εὐπρεπὲς εἶναι, ἀμὴ ὅταν ἀπερνᾷ ἡ γυνὴ πλέον χρόνους ἀπὸ τὸν ἄνδρα εἶναι ἄτακτον.

# ΠΕΡΙ῾ ΣΥΓΓΕΝΕΙ΄ΑΣ.

Η῾ συγγένεια μερίζεται εἰς πέντε τάξεις.

Πρῶτον μὲν. ἐξ αἵματος.
β΄. ἐξ ἀγχιστείας.
γ΄. ἐκ τριγενείας.
δ΄. ἐκ τοῦ ἁγίου βαπτίσματος.
έ. ἐξ υἱοθεσίας.

Η῾ ἐξ αἵματος συγγένεια χωρίζεται εἰς τρία, Εἰς ἀνιόντας, εἰς κατιόντας, καὶ εἰς πλαγίους.

Καὶ ἀνιόντες μὲν εἶναι ὁ Πατήρ μου, ὁ Πάππος, καὶ ὁ Προπάππος. Κατιόντες δὲ εἶναι ὁ υἱός μου, ὁ ἔγγονος, ὁ δισέγγονος καὶ οἱ ἑξῆς.
Πλάγιος δὲ εἶναι, ὁ ἀδελφός μου, ὁ ἐξάδελφος, ὁ δισεξάδελφος.
Καὶ ἡ αὐτὴ συγγένεια λύεται ἕως τὸν ὄγδοον βαθμόν.

Η῾ ἐξ ἀγχιστείας συγγένεια εἶναι ὅταν συμβαίνῃ ἀπὸ δύο γένη.

Τουτέστιν εἷς ἄνθρωπος πέρνει γυναῖκα, καὶ ὅλοι της οἱ συγγενεῖς γίνονται καταχρηστικῶς συγγενεῖς καὶ τοῦ ἀνδρὸς, ἐπειδὴ γίνονται



ΖΩΣΙΜΑΙΑ ΔΗΜΟΣΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σάρκα μία, καὶ ὅσους συγγενεῖς ἔχει ἡ γυναῖκα εἶναι καὶ τοῦ ἀνδρός.

Η' Ἐκ τρίτου γενείας γίνεται καὶ αὐτὴ ὁμοίως ἀπὸ τρία γένη. ἄλλο γὰρ γένος εἶμαι ἐγώ, καὶ ἄλλο γένος ἡ γυναῖκά μου καὶ ὁ ἀδελφός της, καὶ ἄλλο ἡ γυναῖκά του. δύναμαι νὰ πάρω τοῦ γυναικαδελφοῦ μου τὴν γυναικαδελφήν, τὴν δὲ γυναῖκα αὐτοῦ δὲν παίρνω.

Ἡ συγγένεια τοῦ ἁγίου βαπτίσματος εἶναι σεμνοτέρα τῆς ἐξ αἵματος συγγενείας, διὰ τοῦτο πρέπει νὰ φυλάττεται μὲ μεγάλην ἀκρίβειαν, καθὼς ὁρίζει ὁ τρίτος κανὼν τῆς ἕκτης Συνόδου. καὶ διὰ τοῦτο φυλάττεται, καὶ αὐτὴ ἕως τὸν ὄγδοον βαθμόν, καὶ μετρεῖται οὕτως ὡς κάτωθεν.

Εἷς ἄνθρωπος ἐβάπτισεν δύο παιδία, ἀρσενικὸν καὶ θηλυκόν, δὲν δύνουνται νὰ συνέλθουν εἰς γάμον, ἐπειδὴ εἶναι ἑνὸς ἀναδόχου τέκνα, καὶ λέγουνται ἀδέλφια πνευματικά, οὔτε τὰ τέκνα τους, οὔτε τὰ ἔγγονά τους δύνουνται νὰ ἁρμοσθοῦν ἕως τὸν ὄγδοον βαθμὸν καθὼς καὶ εἰς τὴν ἐξ αἵματος συγγένειαν.

Ὅταν εἷς ἄνθρωπος νὰ ἀναδεχθῇ τὸν υἱόν μου ἐκ τοῦ ἁγίου βαπτίσματος, ἐκεῖνος λέγεται ἀδελφός μου πνευματικός, καὶ ὁ υἱός μου ὅπου ἀναδέχθη εἶναι καὶ υἱὸς αὐτοῦ πνευματικός. Τὰ δὲ ἄλλα μου τέκνα ὅπου δὲν ἀναδέχθη εἶναι μετ' ἐκεῖνον τρίτου

Βαθμοῦ,

Βαθμȣ̃, ὡσὰν τέκνα τȣ̃ ἀδελφȣ̃ τȣ, καὶ ȣ̓̃τε ἐκεῖ-
να δυνῶνται νὰ συνελθȣ̃σιν εἰς γάμον, ἕως
τὸν ὄγδοον Βαθμόν.

Εἰς δὲ τȣ̃ ἀδελφȣ̃ αὐτȣ̃ τὰ τέκνα δὲν εἶναι κᾂν μία
συγγένεια, ȣ̓̃τε μὲ τ' ἐμὲ, ȣ̓̃τε μετὰ τέκνα μȣ, μό-
νον εἰς ἐμὲ, καὶ εἰς ἐκεῖνον, ὁπȣ̃ μὲ τὴν ἱερολογίαν
τοῦ ἁγίου βαπτίσματος ἀναδέχθη τὸν υἱὸν
μȣ, ἐμεσίτευσε τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἐποίη-
σέν μας ἀδελφȣ̀ς εἶναι μεγάλη συγγένεια, καὶ
εἰς τȣ̀ς κατιόντας ἐξ ἡμῶν, εἰς δὲ τȣ̀ς ἐκ πλα-
γίȣ δὲν βλάπτει.

Η Συγγένεια τῆς υἱοθεσίας ὁπȣ̃ γίνεται μὲ ἱε-
ρολογίαν ὅταν τὶς ἄνθρωπος δὲν κάμνει
παιδία, ἢ ἔκαμεν καὶ ἀπέθανον, καὶ πέρνει ἕνα παι-
δὶ ξένον, καὶ κάμνει το πνευματικὸν αὐτȣ̃ τέκνον
μὲ ἱερολογίαν, ὡσὰν ἐκεῖνο ὁπȣ̃ ἐγέννησεν σαρ-
κικῶς, εἶναι στερκτὴ καὶ εἰς τȣ̀ς Βαθμȣ̀ς, καὶ εἰς τὴν
κληρονομίαν. Λέγει γὰρ ὁ νόμος.

Οὐ δύναμαι νὰ πάρω τȣ̃ Πάππȣ μȣ τὴν θετὴν
θυγατέρα, εἰς γυναῖκα, ὅτι εἶναι ἀδελφὴ πνευ-
ματικὴ τȣ̃ Πατρός μȣ.

Οὐ δὲ τȣ̃ θετȣ̃ μȣ υἱȣ̃ τὴν θυγατέρα δύναμαι λα-
βεῖν γυναῖκα.

Οὐ δὲ ὁ θετὸς υἱὸς τȣ̃ θετȣ̃ αὐτȣ̃ Πατρὸς τὴν γυ-
ναῖκα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ καθεξῆς δὲν λαμβάνει, οὔτε τὴν θυγατέρα αὐτοῦ, οὔτε τὴν ἐγγόνην ἕως οὗ νὰ πληρωθῇ ὁ ὄγδοος βαθμὸς εἰς τοὺς κατιόντας μόνον, εἰς δὲ τοὺς πλαγίους δὲν ἐμποδίζεται, καθὼς καὶ τὴν συγγένειαν τοῦ ἁγίου βαπτίσματος.

Τουτέστιν εἷς ἄνθρωπος ἔχει θετὴν θυγατέρα. ὁ ἀδελφὸς αὐτοῦ καὶ ὁ ἐξάδελφος δύναται νὰ τὴν λάβῃ διὰ νόμιμον γυναῖκα.

Ὅτι καὶ καλογραῖαι, καὶ παρθένοι γυναῖκες υἱοθετοῦσιν ἀκωλύτως. Τὰ ὁποῖα παιδία λαμβάνουσιν ἀπὸ τὰ ἀγαθὰ αὐτῶν κληρονομίαν, χωρὶς τινὸς κρίσεως.

Ἐὰν ἔχω παιδίον σαρκικὸν, καὶ βαπτίσω καὶ ἕναν ὁποῦ μου γίνεται πνευματικὸν, δύναται νὰ πάρουν δύο ἀδελφὰς ἀνεμποδίστως.

Ὁμοίως ἐὰν βαπτίσω δύο παιδία ξένα ἕνα ἀπὸ τὸ ἄλλο, ἀνεμποδίστως δύνανται νὰ πάρουν δύο ἀδελφὰς, ὅτι ἡ συγγένεια τοῦ ἁγίου Πνεύματος εἶναι μόνον εἰς τὰ δύο πρόσωπα ἐκεῖνα, καὶ εἰς τοὺς κατιόντας ἐξ αὐτῶν, εἰς δὲ τὰ ἄλλα δὲν ἐμποδίζει.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# Μαμουὴλ τοῦ Ξαμθιμοῦ, καὶ μεγάλου Χαρτοφύλακος τῆς μεγάλης Ἐκκλησίας περὶ συγγενείας περιγραφή.

Οὐ δύναταί τις λαβεῖν γυναῖκα τὴν ἀδελφὴν αὐτοῦ, Πέτρος ἐγέννησεν.

Γεώργιον  Ἀδελ.  καὶ Μαρίαν

Οὐ δύναται λαβεῖν ὁ Γεώργιος τὴν Μαρίαν εἰς γυναῖκα, ὅτι εἶναι Βαθμὸς Β΄.

---

Οὐ δὲ τὴν ἀνεψιὰν αὐτοῦ δύναται λαβεῖν.

Γεώργιος  Ἀδέλ.  Ἰωάννης

εἰρήνη

Οὐ δύναται λαβεῖν ὁ Γεώργιος τὴν εἰρήνην. ὅτι εἶναι Βαθμὸς Γ΄.

---

Οὐ δὲ τὴν ἐξαδέλφην αὐτοῦ.

Γεώργιος  Ἀδελφ.  Ἰωάννης

Θωμᾶς  ἐξάδελ.  εἰρήνη

Οὐ δύναται λαβεῖν ὁ Θωμᾶς τὴν εἰρήνην, ὅτι εἶναι Βαθμὸς Δ΄.

Οὐ δὲ τὴν θυγατέρα τῆς ἐξαδέλφης αὐτοῦ.

| | | |
|---|---|---|
| Γεώργιος | Ἀδελφ. | Ἰωάννης |
| Θωμᾶς | ἐξάδελ. | εἰρήνη |
| | | Μαρία |

Οὐ δύναται λαβεῖν ὁ Θωμᾶς τὴν Μαρίαν εἰς γυναῖκα, ὅτι εἶναι Βαθμὸς Ε΄.

Οὐ δὲ τὴν δὶς ἐξάδελφην αὐτοῦ.

| | | |
|---|---|---|
| Γεώργιος | Ἀδελφ. | Ἰωάννης |
| Θωμᾶς | ἐξάδελ. | εἰρήνη |
| Δημήτριος | δὶς ἐξάδελ. | Μαρίας |

Οὐ δύναται λαβεῖν ὁ Δημήτριος τὴν Μαρίαν εἰς γυναῖκα ὅτι εἶναι Βαθμὸς ς΄.

Οὐδὲ τὴν θυγατέρα τῆς δὶς ἐξαδέλφης αὐτοῦ.

| | | |
|---|---|---|
| Γεώργιος. | Ἀδελφ. | Ἰωάννης |
| Θωμᾶς. | ἐξάδελ. | εἰρήνη |
| Δημήτριος. | δὶς ἐξάδελ. | Μαρία |
| | | Ἄννα |

Οὐ δύναται λαβεῖν ὁ Δημήτριος τὴν Ἄνναν εἰς γυναῖκα ὅτι εἶναι Βαθμὸς Ζ΄.

Τινὲς δὲ λέγουσιν, ὅτι τὸν παλαιὸν καιρὸν ἐγίνετο ἀκωλύτως, ὁ δὲ Οἰκουμενικὸς Πατριάρχης, Κύριος Ἀλέξιος Συνοδικῶς ἐμπόδισεν

ἐγγράφως νὰ μὴν γίνεται. ὅμως ἂν φθάσῃ, καὶ γενῇ ἐξαγνωσίας, κανονίζεται παρὰ τοῦ Ἀρχιερέως, καὶ δὲν χωρίζεται.

Λαμβάνει δὲ τὴν τρεῖς ἐξαδέλφην αὐτοῦ.

| | | |
|---|---|---|
| Γεώργιος | Ἀδελφ. | Ἰωάννης |
| Θωμᾶς | ἐξάδελ. | εἰρήνη |
| Δημήτριος | δὶς ἐξάδελ. | Μαρία |
| Ἀλέξιος | τρὶς ἐξάδελ. | Ἄννα |

Ὁ Ἀλέξιος λαμβάνει τὴν Ἄνναν εἰς γυναῖκα ὅτι εἶναι βαθμὸς η', καὶ ἕως τῶν ὀκτὼ βαθμῶν ἡ ἐξ αἵματος συγγένεια διαλύεται, καὶ εἰς ἀνιόντας, καὶ εἰς κατιόντας.

Περὶ τῶν ἐξ ἀγχιστείας συγγενειῶν, τουτέστιν ἀπὸ δύο συγγενείας.

Οὐ δύναται τὶς λαβεῖν μητέρα, καὶ θυγατέρα. Πέτρος ἅρμοσθη τὴν Μαρίαν καὶ ἀπέθανε.

Ἡ Μαρία ἐγέννησεν εἰρήνην.

Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν εἰρήνην εἰς γυναῖκα, ὅτι εἶναι προγονήτου, καὶ εἶναι βαθμὸς Β'.

Οὔτε μάμμην, καὶ ἐγγόνην

Πέτρος ——————— Μαρία
εἰρήνη
Ἄννα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν Ἄνναν, ἐπειδὴ εἶναι ἐγγόνη τῆς Μαρίας, καὶ εἶναι Βαθμὸς Γ΄.

---

Οὔτε μάμμην, καὶ δισεγγόνην

Πέτρος —————— Μαρία
εἰρήνη
Ἄννα
Θεοδώρα

Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν Θεοδώραν, ἐπειδὴ εἶναι δὶς ἐγγόνη τῆς Μαρίας, καὶ εἶναι Βαθμὸς Δ΄.

---

Οὔτε μάμμην, καὶ τρισεγγόνην.

Πέτρος —————— Μαρία
εἰρήνη
Ἄννα
Θεοδώρα
Ἑλένη.

Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν Ἑλένην, ἐπειδὴ εἶναι τρισεγγόνη τῆς Μαρίας, καὶ εἶναι Βαθ. ε΄.

---

Οὔτε θείαν μεγάλην καὶ ἀνεψιάν.

Πέτρος — Μαρία. Ἀδελ. Θεοδώρα.
εἰρήνη.

Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν εἰρήνην, ἐπειδὴ εἶναι ἀνεψιὰ τῆς Μαρίας, καὶ εἶναι Βαθμὸς γ΄.

Οὔτε

ΒΙΒΛΙΟΘΗΚΗ ... ΙΩΑΝΝΙΝΩΝ

Οὔτε τὴν ἐγγόνην τῆς γυναικαδελφῆς αὐτοῦ.

Πέτρος—Μαρία. Ἀδελ. Θεοδώρα.
εἰρήνη.
Ἄννα.

Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν Ἄνναν, ἐπειδὴ εἶναι ἐγγόνη τῆς Θεοδώρας τῆς γυναικαδελφῆς αὐτοῦ, καὶ εἶναι Βαθμὸς δ΄.

Οὔτε δύο ἐξαδέλφας.

Πέτρος—Μαρία. ἐξαδέλ. Θεοδώρα.

Οὐ δυν. λαβεῖν ὁ Πέτρος τὴν Θεοδώραν, ἐξάδελφην τῆς Μαρίας τῆς πρώτης γυναικὸς αὐτοῦ. ὅτι εἶναι Βαθ. ε΄.

Οὔτε μικρὰν θείαν, καὶ Ἀνεψιὰν

Πέτρος—Μαρία. ἐξαδέλ. Θεοδώρα.
εἰρήνη.

Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν εἰρήνην θυγατέρα τῆς ἐξαδέλφης Μαρίας τῆς πρώτης γυναικὸς αὐτοῦ, ὅτι εἶναι Βαθμὸς ϛ΄.

Οὔτε δύο δὶς ἐξαδέλφας

Πέτρος—Μαρία. ἐξάδελ. Θεοδώρα.
Ἑλένη. δὶς ἐξαδέλ. εἰρήνη.

Οὐ δύναται λαβεῖν ὁ Πέτρος τὴν εἰρήνην δὶς ἐξαδέλφην Μαρίας τῆς πρώτης γυναικὸς αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Ζ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

..αμβάνει δὲ τὴν Θυγατέρα τῆς δὶς ἐξαδέλφης αὐτῆς.

Πέτρος—Μαρία. ἐξαδέλφ. Θεοδώρα.
Ἑλένη. δὶς ἐξαδελ. εἰρήνη.
Ἄννα.

Δύναται δὲ λαβεῖν τὴν θυγατέρα τῆς δὶς ἐξαδέλφης Μαρίας τῆς γυναικὸς αὐτοῦ, ὅτι εἶναι Βαθμὸς, Η΄.

---

Οὐ δύναται Πατὴρ, καὶ υἱὸς λαβεῖν μητέρα, καὶ θυγατέρα.

Πέτρος——————Μαρία.
Ἰωάννης Θεοδώρα.

Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν γυναῖκα τὴν Θεοδώραν, ἐπειδὴ εἶναι προγονὴ τοῦ Πέτρου τοῦ Πατρὸς αὐτοῦ, καὶ εἶναι βαθμὸς Β΄.

---

Οὐ δὲ Πατὴρ, καὶ υἱὸς Μάμμην, καὶ ἐγγόνην.

Πέτρος. Μαρία.
Ἰωάννης. Θεοδώρα.
Ἄννα.

Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν γυναῖκα τὴν Ἄνναν ἐγγόνην Μαρίας τῆς γυναικὸς τοῦ Πατρὸς αὐτοῦ. ὅτι εἶναι Βαθμὸς Γ΄.

Οὐ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐδὲ Πατὴρ, καὶ υἱὸς μάμμην, καὶ δὶς ἐγγόνην.

Πέτρος ———————— Μαρία.
Ἰωάννης. Θεοδώρα.
Ἄννα.
εἰρήνη.

Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν γυναῖκα τὴν εἰρήνην δισεγγόνην, Μαρίας γυναικὸς τοῦ Πατρὸς αὐτοῦ. ὅτι εἶναι Βαθμὸς Δ΄.

Οὔτε μάμμην, καὶ τρὶς ἐγγόνην.

Πέτρος ———————— Μαρία.
Ἰωάννης Θεοδώρα.
Ἄννα.
εἰρήνη.
Ἑλένη.

Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν γυναῖκα τὴν Ἑλένην τρὶς ἐγγόνην Μαρίας τῆς γυναικὸς τοῦ Πατρὸς αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Ε΄.

Οὐδὲ Πατὴρ, καὶ υἱὸς δύο ἀδελφάς.

Πέτρος — Μαρία Ἀδέλφ. Θεοδώρα.
Ἰωάννης

Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν γυναῖκα τὴν Θεοδώραν, ἐπειδὴ εἶναι γυναικαδελφὴ τοῦ Πατρὸς αὐτοῦ, καὶ εἶναι Βαθμὸς Γ΄.

Οὐ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐ δὲ Πατὴρ καὶ υἱὸς μεγάλην θείαν, καὶ ἀνεψιάν.
Πέτρος—Μαρία. Ἀδέλ. Θεοδώρα.
Ἰωάννης. εἰρήνη.
Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν γυναῖκα τὴν εἰρήνην, ὅτι εἶναι ἀνεψιὰ τῆς Μαρίας γυναικὸς τοῦ Πατρὸς αὐτοῦ, καὶ εἶναι
Βαθμὸς Δ΄.

---

Οὐ δὲ Πατὴρ, καὶ υἱὸς δύο ἐξαδέλφ.
Πέτρος—Μαρία. ἐξαδέλ. Θεοδώρα.
Ἰωάννης.
Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν γυναῖκα τὴν εἰρήνην ἐξαδέλφην Μαρίας τῆς γυναικὸς τοῦ Πατρὸς αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Ε΄.

---

Οὐ δὲ Πατὴρ, καὶ υἱὸς μικρὰν θείαν, καὶ ἀνεψιάν,
Πέτρος—Μαρία. ἐξαδέλ. Θεοδώρα.
Ἰωάννης. εἰρήνη.
Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν εἰς γυναῖκα τὴν εἰρήνην, θυγατέρα Θεοδώρας τῆς ἐξαδέλφης Μαρίας γυναικὸς τοῦ Πατρὸς αὐτοῦ, ὅτι εἶναι Βαθμὸς ς΄.

---

Οὐ δὲ Πατὴρ καὶ υἱὸς δύο δὶς ἐξαδέλφας
Πέτρος—Μαρία. ἐξαδέλφ. Θεοδώρα.
Ἰωάννης. Ἐλεύη. δὶς ἐξάδελ. εἰρήνη.

Οὐ

Οὐ δύναται ὁ Ἰωάννης λαβεῖν γυναῖκα τὴν εἰρήνην δὶς ἐξαδέλφ. Μαρίας τῆς γυναικὸς τοῦ Πατρὸς αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Ζ΄.

Οὐ δὲ Πάππος, καὶ ἔγγονος Μητέρα, καὶ Θυγατέρα.

Πέτρος ——————— Μαρία.
Ἰωάννης Θεοδώρα.
Γεώργιος.

Οὐ δύναται ὁ Γεώργιος λαβεῖν γυναῖκα τὴν Θεοδώραν προγονὴν τοῦ Πάππου αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Γ΄.

Οὐ δὲ Πάππος, καὶ ἔγγονος μάμμην, καὶ ἐγγόνην.

Πέτρος ——————— Μαρία.
Ἰωάννης. εἰρήνη
Γεώργιος. Ἄννα.

Οὐ δύναται ὁ Γεώργιος λαβεῖν γυναῖκα τὴν Ἄννην ἐγγόνην Μαρίας τῆς γυναικὸς τοῦ πάππου αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Δ΄.

Οὔτε πάππος, καὶ ἔγγονος μάμμην, καὶ δὶς ἐγγόνην.

Πέτρος ——————— Μαρία.
Ἰωάννης. εἰρήνη.
Γεώργιος. Ἄννα.
Θεοδώρα.

Οὐ δύναται ὁ Γεόργιος λαβεῖν γυναῖκα τὴν Θεοδώραν δὶς ἐγγόνην Μαρίας, τῆς γυναικὸς τοῦ πάππου αὐτοῦ, ὅτι εἶναι Βαθ. Ε΄.

Οὐδὲ πάππος, καὶ ἔγγονος δύο ἐξαδέλφας.

Πέτρος—Μαρία. ἐξαδέλ. Θεοδώρα.
Ἰωάννης.
Γεώργιος.

Οὐ δύναται ὁ Γεώργιος λαβεῖν γυναῖκα τὴν Θεοδώραν ἐξαδέλφην Μαρίας γυναικὸς τοῦ πάππου αὐτοῦ, ὅτι εἶναι Βαθμὸς ϛ΄.

Οὐδὲ πάππος καὶ ἔγγονος μεγάλην θείαν, καὶ ἀνεψιάν.

Πέτρος—Μαρία Ἀδελφ. Θεοδώρα.
Ἰωάννης. εἰρήνη.
Γεώργιος.

Οὐ δύναται ὁ Γεώργιος λαβεῖν γυναῖκα τὴν εἰρήνην ἀνεψιὰν Μαρίας γυναικὸς τοῦ πάππου αὐτοῦ, ὅτι εἶναι Βαθμὸς Ε΄.

Πάππος δὲ καὶ ἔγγονος λαμβάνουσι μικρὰν θείαν, καὶ ἀνεψιάν.

Πέτρος—Μαρία ἐξαδέλ. Θεοδώρα.
Ἰωάννης. εἰρήνη.
Γεώργιος.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Δυύαται δὲ λαβεῖν ὁ Γεώργιος γυναῖκα τὴν εἰρήνην, θυγατέρα Θεοδώρας ἐξαδέλφης Μαρίας γυναικὸς τοῦ Πάππου αὐτοῦ, ὅτι εἶναι Βαθμ. Ζ΄.

Πάππος καὶ δισέγγονος, δὲν πέρνουν δύο ἐξαδέλ.

Πέτρος—Μαρία. ἐξαδέλ. Θεοδώρα.

Ἰωάννης.

Γεώργιος.

Δημήτριος.

Οὐ δυύαται λαβεῖν ὁ Δημήτριος γυναῖκα τὴν Θεοδώραν, καλὰ καὶ εἶναι Βαθμοὺς Ζ΄.

Ἀλλὰ διὰ τὸ δυσπρεπὲς οὐ γίνεται.

Δύο ἀδελφοὶ δὲν λαμβάνουν δύο ἀδελφάς.

Παῦλος Πέτρος Μαρία Ἀδελ. Θεοδώρα

Οὐ δυύαται λαβεῖν ὁ Παῦλος τὴν Θεοδώραν εἰς γυναῖκα, ὅτι εἶναι γυναικαδέλφη Πέτρου τοῦ ἀδελφοῦ του, καὶ εἶναι Βαθμὸς Δ΄.

Οὔτε μεγάλην θείαν, καὶ ἀνεψιὰν δὲν πέρνουσι δύο Ἀδελφοί.

Παῦλος ἀδελφ. Πέτρος—Μαρία ἀδελφ. Θεοδώρ

εἰρήνη.

Οὐ δυύαται λαβεῖν ὁ Παῦλος τὴν εἰρήνην εἰς γυναῖκα, ὅτι εἶναι ἀνεψιὰ τῆς Μαρίας νύμφης του, καὶ εἶναι Βαθμὸς Ε΄.

Οὔτε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὔτε δύο ἐξαδέλφοι δὲν πέρνουν δύο ἀδελφάς.

Παῦλος. ἀδελφ. Πέτρος — Μαρία. ἀδελφ. Θεοδώρα.
Ἑλένη. ἐξαδέλ. εἰρήνη.

Οὐ δύναται ὁ Παῦλος λαβεῖν γυναῖκα τὴν εἰρήνην, ὅτι εἶναι ἐξαδέλφη τῆς Μαρίας τῆς νύμφης του, καὶ εἶναι Βαθμὸς ϛ'.

---

Δύο ἀδελφοὶ λαμβάνουσι μικρὰν θείαν, καὶ ἀνεψιάν.

Παῦλος ἀδελφ. Πέτρος — Μαρία ἀδελφ. Θεοδώρα
Ἑλένη ἐξαδέλ. εἰρήνη.
Ἄννα

Ὁ Παῦλος δύναται λαβεῖν εἰς γυναῖκα τὴν Ἄνναν θυγατέρα τῆς ἐξαδέλφης Μαρίας τῆς νύμφης του. ὅτι εἶναι Βαθμὸς Ζ'.

---

Δύο ἀδελφοὶ δὲν πέρνουν Μητέρα, καὶ θυγατέρα

Παῦλος Ἀδελ. Πέτρος — Μαρία
Ἑλένη

Οὐ δύναται ὁ Παῦλος νὰ λάβῃ τὴν Ἑλένην γυναῖκα, ἐπειδὴ εἶναι θυγατέρα Μαρίας τῆς νύμφης του, καὶ εἶναι Βαθμὸς Γ'.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Δύο ἀδελφοὶ δσὺ ἐπέρνουν Μάμμην, καὶ ἐγγόνην.

| | | | |
|---|---|---|---|
| Παῦλος | Ἀδελ. | Πέτρος — | Μαρία |
| | | | Ἑλένη |
| | | | Θεοδώρα |

Οὐ δύναται ὁ Παῦλος νὰ λάβῃ τὴν Θεοδώραν γυναῖκα. ἐπειδὴ εἶναι ἐγγόνη Μαρίας τῆς νύμφης του, καὶ εἶναι Βαθμὸς Δ΄.

Δύο ἀδελφοὶ δσὺ πέρνουν μάμμην, καὶ δισεγγόνην.

| | | | |
|---|---|---|---|
| Παῦλος. | Ἀδελφ. | Πέτρος — | Μαρία. |
| | | | Ἑλένη. |
| | | | Θεοδώρα |
| | | | Ἄννα |

Οὐ δύναται λαβεῖν ὁ Παῦλος τὴν Ἄνναν γυναῖκα. Ὅτι εἶναι δισεγγόνη Μαρίας τῆς νύμφης του, καὶ εἶναι Βαθμὸς Ε΄.

Δύο ἀδελφοὶ δσὺ πέρνουν Μάμμην, καὶ τρισεγγόνην.

| | | | |
|---|---|---|---|
| Παῦλος. | Ἀδέλ. | Πέτρος — | Μαρία. |
| | | | Ἑλένη. |
| | | | Θεοδώρα. |
| | | | Ἄννα. |
| | | | εἰρήνη. |



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὐ δύναται ὁ Παῦλος λαβεῖν τὴν εἰρήνην.
Ὅτι εἶναι τρισεγγόνη τῆς νύμφης του.
καὶ εἶναι Βαθμὸς ς΄.

---

Θεῖος καὶ ἀνεψιὸς λαμβάνουσιν θείαν, καὶ ἀνεψιάν, ἤγουν νὰ πάρῃ ὁ θεῖος τὴν θείαν, καὶ ἀνεψιὸς τὴν ἀνεψιάν, διὰ τὸ εὐπρεπές.

Παῦλος ἀδελφ. Πέτρος—Μαρία ἀδελφ. Θεοδώρα.
Ἰωάννης. εἰρήνη.

Δύναται δὲ ὁ Ἰωάννης λαβεῖν τὴν εἰρήνην εἰς γυναῖκα, ἐπειδὴ ὁ θεῖός του ὁ Πέτρος ἔχει τὴν Μαρίαν θείαν τῆς εἰρήνης, καὶ εἶναι Βαθμὸς Ζ΄.

---

Δύο ἐξάδελφοι λαβάνουν δύο ἐξαδέλφας.

Παῦλος. ἐξαδέλ. Πέτρος—Μαρία. ἐξαδέλ. Θεοδώρα.

Δύναται ὁ Παῦλος λαβεῖν εἰς γυναῖκα τὴν Θεοδώραν, ἐπειδὴ εἶναι Βαθμὸς Η΄.

---

## ΠΕΡῚ ΤΡΙΓΕΝΕΙ'ΑΣ.

Οὐ δύναμαι λαβεῖν τὴν γυναῖκα τοῦ γυναικαδέλφου μου, λαμβάνω δὲ τὴν ἀδελφὴν αὐτῆς.

Πέτρος. Μαρία. ἀδελ. Γεώργιος. Ἑλένη. ἀδελ. εἰρήνη.

Ὁμοίως καὶ ὁ ἀδελφός μου λαμβάνει τὴν γυναῖκα τοῦ γυναικαδελφοῦ μου, καὶ εἶναι
Βαθμὸς Δ'.

Τὴν γυναῖκα τοῦ προγονοῦ μου ἐγὼ οὐ λαμβάνω. Λαμβάνει δὲ ταύτην ὁ ἐμὸς ἀδελφός. Βαθμὸς Δ'.

Πέτρος· ἀδελ. Παῦλος. · Θεοδώρα ὑὸς Ἰωάννης· Ἄννα

Λαμβάνω δὲ τὴν προγονὴν τοῦ γυναικαδελφοῦ μου, καὶ εἶναι
Βαθμὸς Δ'.

Πέτρος—Μαρία. Ἀδελφ. Γεώργιος—εἰρήνη Ἑλένη

Ἀποθανούσης τῆς γυναικός μου λαμβάνω τοῦ θείου αὐτῆς τὴν γυναῖκα
Βαθμὸς Δ'.

Πέτρος—Μαρία θεῖος αὐτῆς Ἰωάννης—Ἄννα



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἔχω εἰς τὴν ἀδελφήνμου Γαμβρὸν, ἐλαμβαίνω τοῦ ἀδελφοῦ του τὴν γυναῖκα Βαθμὸς Δ΄.

Πέτρος. ἀδέλ. εἰρήνη—Γεώργ. ἀδέλ. Ἰωάνν.—Μαρία

Τῆς γυναικόςμου ὁ πρῶτος ἄνδρας, ἔλαβεν νύμφην εἰς τὴν ἀδελφὸν αὐτοῦ: ἐκεινὴν δεν ἐπέρνω, λαμβαίνω δὲ τὴν ἀδελφὴν αὐτῆς, καὶ εἶναι Βαθμὸς Ε΄.

Πέτρος. Α΄. ἄνδρας Μαρι. ἀδελ. Παῦ. Θεοδ. ἀδελ. εἰρήν.
Ἰωάννης. Β΄. ἄνδρας Μαρίας.

Γαμβρὸς καὶ γυναικαδελφὸς λαμβαίνουν δύο ἀδελφὰς Βαθμὸς Ε΄.

Πέτρος—Μαρία ἀδελ. Γεώργ. εἰρήνη ἀδελφ. Ἄννα

Δύο ἀδελφοὶ ἔχουν γυναικάδελφον, καὶ γυναικαδέλφην, καὶ ἔρχουνται εἰς γάμον.

Πέτρ. Μαρία ἀδελ. Ἰωάν. Παῦλ.—Ἄννα ἀδελ εἰρήνη

Βαθμὸς Ε΄.

Πέτρος. Μ...

Ἐάν

Ο'Φθόμος εἶμαι πρῶτομ, θαμάσιμομ ἁ-
μάρτημα, Ϛ ἐξ αὐτῦ γεννῶνται δέ-
κα κλάδοι, ἤγουμ Η' ἐπιβουλή, Ο' θυ-
μός, Η' ἔχθρα, Η' ἔρις, Η' ἀχαρι-
ςία, Ο' μυκτηρισμὸς, Η' χαιρεκα-
κία. Τὸ μῖσος, Η' μνησικακία, Ϛ Ο'
φόνος. Ταῦτα ὅλα εἶμαι κλάδοι, καὶ
καρποὶ τῦ φθόνυ. Ο' δὲ ἔχωμ τὴω ἀ-
γάπηω εἰς τὸμ Θεὸμ, Ϛ εἰς τὸμ πλησίομ
θιμῶ, ὅλα ταῦτα τὰ κακὰ, καταπα-
τεῖ. ἀπ' ὐδενὸς δὲμ βλάπτεται
ἡ ἀγάπη μακροθυμεῖ, χρηςεύε-
ται, ἀγάπη ὐ ζηλοῖ, ὐ φυσιῦται,
ὐ ζητεῖ τὰ ἑαυτῆς,
ὐ λογίζεται τὸ κακὸν,
ἀδικίᾳ, συγχαίρει δὲ τῇ
πάντα ςέγει, πάντα
ει, ὐδέποτε ἐκπίπτει.




ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Η' Φιλαργυρία εἶναι ῥίζα πάντων τῶν κακῶν, ϗ ἐξ αὐτῆς γεννᾶται, Ἡ ψευδομαρτυρία, Ἡ πλεονεξία, Τὸ ψεῦδος, Ἡ ἀσπλαγχνία, Ὁ δόλος, Ἡ ἀδικία, Ἡ κλοπὴ, Ἡ ἱεροσυλία, Ὁ τόκος, Ἡ εἰδωλολατρεία. Ταῦτα ὅλα εἶναι κλάδοι, ϗ καρποὶ τῆς φιλαργυρίας. Ὁ δὲ ποιῶν τὴν ἐλεημοσύνην, ὅλα ταῦτα τὰ καταπατεῖ, ἐ ἀπ' οὐδενὸς δὲν βλάπτεται. Ὅτι ἡ ἐλεημοσύνη ποιεῖ τὸν ἄνθρωπον ὅμοιον Θεοῦ, Ἐλεήμονα, Εὔσπλαγχνον, Φιλάνθρωπον, Ἱλαρὸν, Οἰκτίρμονα. Τέλος, ἀποκαθιστᾷ αὐτὸν φίλον Θεῷ, ἐ ἀθάνατον ποιεῖ τὸ ὄνομα αὐτοῦ εἰς πάντας, τούς τε ἐνεστῶτας, ϗ μέλλοντας.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ


Σωφροσύνη
Φθορά.
Ἀφοβία Θεοῦ.
Αἱμομιξία.
Μαλακία.
Ἀῤῥενομανία.
Ἀκρασία.
Πόρνους καὶ μοιχοὺς κρινεῖ ὁ Θεός.
Ἀρσενοκοιτία.
Κτηνοβατία.
Μοιχεία.
Πορνεία.

Ἡ Πορνεία εἶναι ἕνα ἁμάρτη... θανάσιμον ἀπηγορευμένον εἰς τὴν δέκα ἐντολὰς τοῦ Θεοῦ. Καὶ ἐξ αὐτῆς γεννᾶται, Ὁ συγκυλισμὸς, Ἡ ἀρσενοκοιτία, Ἡ ἀῤῥενομανία, Ἡ αἱμομιξία, Ἡ φθορὰ, Ἡ μαλακία, Ἡ ἀκρασία, Ἡ κτηνοβατεία, Ἡ μοιχεία, καὶ Ἡ ἀφοβία Θεοῦ. Ταῦτα ὅλα εἶναι κλάδοι, καὶ καρποὶ τῆς πορνείας. Ὁ δὲ ἔχων τὴν σωφροσύνην, ὅλα ταῦτα τὰ νικᾶ, καὶ καταπατεῖ, καὶ ἀπ' οὐδεμιᾶς δὲν βλάπτεται, Ὅτι ἡ σωφροσύνη διαφυλάττει τὸν ἄνθρωπον παρθένον, Καθαρὸν, Ἄφθαρτον, ὅμοιον Ἀγγέλῳ ... Καὶ ἄξιον πάντοτε θυσίαν φέρειν τῷ Θεῷ, ἐν παντὶ καιρῷ, καὶ τόπῳ ὑπὲρ αὐ... καὶ ὑπὲρ ὧν αὐτῷ ἐνετείλαντο.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



Νηστεία.
Μέθη.
Ἁρπαγή.
Ἐπιορκία.
Ἀθέτησις νόμου
Ἀσωτία.
Φιληδονία.
Κλοπή.
Κολακεία.
Λαιμαργία.
Ἀσέλγεια.
Γαστρὸς ἀκράτεια, αἰδοίων ἀκράτεια.
Γαστριμαργία.

1869

Φεβρουαρίου 17

Θεοδώρα

Α

Τα

Τα ἰη

τα

Τα ἰη

Τα ἑπτ

Αἱ τέσσα

Αἱ τέσσα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ